1) Ex duabus columnis dextra Hultschiana continet.

ed. Hultschii Geometr.	ed. meae	ed. Hultschii Geometr.	ed. meae
10—11	= 7, 10—17	58	= 15, 12—14
12—13	= 8—9	59	= 15, 17—18
14	= 10, 1—2	60	= 15, 19
15	= 10, 3—5	61	= 15, 15—16
16	= 10, 6—8	62	= 16, 1
17	= 10, 9—13	63	= 16, 2—3
18	= 11, 1—2	64	= 16, 4
19	= 11, 3—4	65	= 16, 5
20	= 11, 5—6	66	= 16, 6—8
21	= 11, 7—8	67	= 16, 9—10
22	= 11, 9—10	68	= 16, 11
23	= 11, 11—12	69	= 16, 12—13
24	= 12, 1—3	70	= 16, 14
25	= 12, 4—8	71	= 16, 15—16
26	= 12, 9—14	72	= 16, 17
27	= 12, 15—18	73	= 16, 18—19
28	= 12, 19—22	74	= 16, 20
29	= 12, 23—27	75	= 16, 21—22
30	= 12, 28—29	76	= 16, 23
31	= 12, 30—32	77	= 16, 24—25
32	= 12, 33—37	78	= 16, 26
33	= 12, 38—40	79	= 16, 27—28
34	= 12, 43—50	80	= 16, 29—30
35	= 12, 51—62	81	= 16, 31—32
36	= 12, 63—74	82	= 16, 33
37	= 13, 1	83	= 16, 34—37
38	= 13, 2	84	= 16, 38—39
39	= 13, 3	85	= 16, 40—41
40, 1—2	= 13, 4	86	= 16, 42—46
40, 3—4	= 13, 5	87	= 17, 1—9
41	= 13, 6	88	= 17, 10—22
42—43	= 14, 1—2	89	= 17, 23
44	= 14, 3—6	90	= 17, 24—28
45	= 14, 7	91	= 17, 29—36
46	= 14, 8—9	92	= 18, 1
47—49	= 14, 10—12	93	= 18, 2—14
50	= 14, 13—15	94	= 19, 1—2
51	= 14, 16—21	95	= 19, 3—4
52	= 14, 22—23	96	= 20, 1—3
53	= 15, 1—3	97	= 20, 4—7
54	= 15, 4	98	= 20, 8—13
55	= 15, 5—7	99	= 20, 14
56	= 15, 8—9	100	= 21, 1—2
57	= 15, 10—11	101	= 21, 3—13

ed. Hultschii		ed. meae
Geometr.		
102	=	21, 14—24
103	=	21, 25
104	=	21, 26—27
105	=	22
106	=	23, 1—22
Lib. Geepon.		
1—6	=	Deff. 25—30
7—9	=	32—34
10—24	=	39—53
25—31	=	55—61
32—39	=	65—72
40—41	=	98—99
42—43	=	Geom. 3
44	=	4, 1
45	=	4, 6 (a); 5, 1 (a et b)
46—47	=	5, 2—3 (a)
48—49	=	6, 1—2 (a)
50—51	=	7, 1—6 (a)
52	=	11, 1—2 (a)
53—58	=	24, 31—36
59—65	=	17, 4—8 (a)
Lib. Geepon.		Geom.
66	=	18, 4 (a)
67	=	18, 6 (a)
68		u. uol. V
69—70	=	Geom. 18, 15—16
71—74		u. uol. V
75—77	=	Pseudo-Dioph. 10—11
78—79	=	Geom. 24, 1—2
80—85		u. uol. V.
86	=	Geom. 13, 6
87—89		u. uol. V
90—93	=	Deff. 130—132
94	=	Geom. 2
95	=	23, 67
96—101		u. uol. V
102—103	=	Geom. 23, 68
104—145		u. uol. V
146—164	=	Pseudo-Dioph. 23—41
165—166	=	Geom. 22, 1 (a)—2
167—190	=	22, 3—24
191—205		u. uol. V

DEFINITIONES

ΗΡΩΝΟΣ

ΟΡΟΙ ΤΩΝ ΓΕΩΜΕΤΡΙΑΣ ΟΝΟΜΑΤΩΝ.

[α'. *Τί ἐστι σημεῖον;*
β'. *Τί γραμμή;*
γ'. *Τίνες αἱ τῶν γραμμῶν διαφοραί;*
δ'. *Τί ἐστιν εὐθεῖα γραμμή;*
ε'. *Τίνες αἱ κυκλικαὶ γραμμαί;*
ς'. *Τίνες αἱ καμπύλαι γραμμαί;*
ζ'. *Τίνες αἱ ἑλικοειδεῖς γραμμαί;*
η'. *Περὶ ἐπιφανείας.*
ϑ'. *Τί ἐστιν ἐπίπεδος ἐπιφάνεια;*
ι'. *Τίς ἡ οὐκ ἐπίπεδος ἐπιφάνεια;*
ια'. *Περὶ στερεοῦ σώματος.*
ιβ'. *Περὶ γωνίας καὶ κεκλασμένης γραμμῆς.*
ιγ'. *Τίνες αἱ γενικαὶ τῶν γωνιῶν διαφοραί;*
ιδ'. *Τί ἐστι κοινῶς ἐπίπεδος γωνία;*
ιε'. *Τίς ἡ ἐπίπεδος εὐθύγραμμος γωνία;*
ις'. *Τίνες αἱ τῶν εὐθυγράμμων γωνιῶν διαφοραί;*
ιζ'. *Τίς ἡ ὀρθὴ γωνία;*
ιη'. *Τίς ἡ ὀξεῖα γωνία;*
ιϑ'. *Τίς ἡ ἀμβλεῖα γωνία;*
κ'. *Πῶς ἔχουσι πρὸς ἀλλήλας αἱ εὐθύγραμμοι;*

---

3 *τίνες*] F, *τίνος* C.   7 *ἑλικοειδεῖς*] F, *ἑλικοιδές* C.

HERONS
DEFINITIONEN GEOMETRISCHER BENENNUNGEN.

[1. Was ist ein Punkt?
2. Was eine Linie?
3. Welche sind die Arten der Linien?
4. Was ist eine gerade Linie?
5. Was sind Kreislinien?
6. Was sind krumme Linien?
7. Was sind Schneckenlinien?
8. Von der Fläche.
9. Was ist eine ebene Fläche?
10. Was ist eine nichtebene Fläche?
11. Vom soliden Körper.
12. Vom Winkel und von der gebrochenen Linie.
13. Welche sind die allgemeinen Arten der Winkel?
14. Was ist allgemein ein ebener Winkel?
15. Was ist der ebene gradlinige Winkel?
16. Welche sind die Arten der gradlinigen Winkel?
17. Was ist der rechte Winkel?
18. Was der spitze Winkel?
19. Was der stumpfe Winkel?
20. Wie verhalten sich die gradlinigen Winkel zueinander?

---

9 *ἔστιν*] C, *δέ* F. 12 *καὶ κεκλασμένης*] Hultsch, *κεκλασμένης καὶ* C; cfr. p. 22, 22. 13 *γωνιῶν*] F, *γονιῶν* C. 20 *εὐθύγραμμοι*] C, *εὐθύγραμμοι* ⟨*γωνίαι*⟩ Hultsch, *εὐθύγραμμοι γραμμαί* F, cfr. p. 26, 18.

κα'. Ὅτι ἡ ὀρθὴ γωνία καὶ ἡ μονὰς καὶ τὸ νῦν ὁμοίως ἔχουσιν.

κβ'. Περὶ στερεᾶς γωνίας.

κγ'. Περὶ σχήματος.

κδ'. Τίνες οἱ τῶν σχημάτων ὅροι;

κε'. Τίνες αἱ γενικαὶ τῶν σχημάτων διαφοραί;

κς'. Τίνες αἱ τῶν ἐπιπέδων σχημάτων διαφοραί;

κζ'. Περὶ ἀσυνθέτου ἐπιπέδου σχήματος, ὅ ἐστι κύκλος.

κη'. Περὶ διαμέτρου.

κθ'. Περὶ τῶν ἐν τοῖς ἐπιπέδοις ἐξ ἀνομογενῶν συνθέτων περιφερειῶν σχημάτων, οἷον τί ἐστιν ἡμικύκλιον;

λ'. Τί ἐστιν ἁψίς;

λα'. Τί ἐστι τμῆμα κύκλου τὸ μεῖζον;

λβ'. Τί ἐστι κοινῶς τμῆμα κύκλου;

λγ'. Τίς ἡ ἐν τμήματι κύκλου γωνία;

λδ'. Τί ἐστι τομεὺς κύκλου;

λε'. Περὶ τῶν ἐκ δύο περιφερειῶν ἐπιπέδων σχημάτων καὶ λοιπῶν, τουτέστι περὶ κυρτῆς καὶ κοίλης περιφερείας.

λς'. Τί ἐστι μηνίσκος;

λζ'. Τί ἐστι στεφάνη;

λη'. Τί ἐστι πέλεκυς;

λθ'. Τίνες αἱ τῶν ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων σχημάτων διαφοραί;

μ'. Τί ἐστι τρίγωνον;

μα'. Τίνα τῶν τριγώνων εἴδη καὶ πόσα;

μβ'. Τί τὸ ἰσόπλευρον;

---

5 οἱ] F², αἱ CF. 7 κς'—διαφοραί] F, cfr. p. 30, 25; om. C. 8 κζ'] κς' C. ἐπιπέδου] F, cfr. p. 32, 9; ἐπιφα-

21. Der rechte Winkel, die Einheit und das Nu verhalten sich ähnlich.
22. Vom körperlichen Winkel.
23. Von der Figur.
24. Welche sind die Grenzen der Figuren?
25. Welche sind die allgemeinen Arten der Figuren?
26. Welche sind die Arten der ebenen Figuren?
27. Von der nicht zusammengesetzten ebenen Figur, d. h. dem Kreise.
28. Vom Durchmesser.
29. Von den Figuren in der Ebene, welche aus ungleichartigen Peripherien zusammengesetzt sind, und zwar: was ist ein Halbkreis?
30. Was ist eine Apsis?
31. Was ist ein größerer Kreisabschnitt?
32. Was ist allgemein ein Kreisabschnitt?
33. Was ist der Winkel in einem Kreisabschnitt?
34. Was ist ein Kreisausschnitt?
35. Von den aus zwei Kreisbögen zusammengesetzten ebenen Figuren usw., d. h. von dem konvexen und konkaven Bogen.
36. Was ist ein Möndchen?
37. Was ist ein Kranz?
38. Was ist ein Doppelbeil?
39. Welche sind die Arten der gradlinigen Figuren in der Ebene?
40. Was ist ein Dreieck?
41. Welche sind die Arten der Dreiecke und wie viele?
42. Was ist ein gleichseitiges Dreieck?

νείας C. 10 *κη'*] *κζ'* C. 11 *κθ'*] *κη'* C. *ἐπιπέδοις*] F, *ἐπιφανείας πέδοις* C. *ἐξ ἀνομογενῶν*] F, *ἐξαναvομογενῶν* C. 12 *οἷον*] Schmidt, *ὢ* C, *ἤγουν* F. 14 *λ'*] *κθ'* C, et similiter deinceps. 15 *λα'—μεῖζον*] om. F, cfr. p. 34, 13. 16 *λβ'*] *λ'* F, et sic deinceps. 19 *ἐκ*] Hultsch, cfr. p. 36, 9; om. C, *ἐν* F. 20 *τουτέστι τῆς κοίλης καὶ περιφερείας* F. 25 *αἱ*] C, *ἐκ* F. *εὐθυγράμμων*] C, om. F. 28 *μα'—πόσα*] F, cfr. p. 38, 15; om. C. 29 *μβ'*] *μ'* C, et similiter deinceps.

μγ′. Τί τὸ ἰσοσκελές;
μδ′. Τί τὸ σκαληνόν;
με′. Τί τὸ ὀρθογώνιον;
μς′. Τί τὸ ὀξυγώνιον;
μζ′. Τί τὸ ἀμβλυγώνιον;
μη′. Τριγώνων ἰδιότητες.
μθ′. Περὶ τετραπλεύρων σχημάτων. τί ἐστι τετράπλευρον ἐπίπεδον;
ν′. Τίνες αἱ τῶν τετραπλεύρων διαφοραί;
να′. Τίνα τὰ τετράγωνα;
νβ′. Τίνα τὰ ἑτερομήκη;
νγ′. Τί ῥόμβοι;
νδ′. Τί ῥομβοειδῆ;
νε′. Τίνα παραλληλόγραμμα;
νς′. Περὶ παραλληλογράμμων ὀρθογωνίων.
νζ′. Τίς ὁ ἐν παραλληλογράμμῳ γνώμων;
νη′. Τί ἐστι γνώμων κοινῶς;
νθ′. Τί ἐστι τραπέζιον;
ξ′. Τίνα τὰ τραπέζια;
ξα′. Τίνα τὰ τραπεζοειδῆ;
ξβ′. Τί τραπέζιον ἰσοσκελές;
ξγ′. Τί τραπέζιον σκαληνόν;
ξδ′. Τίνα τὰ πολύπλευρα ἐπίπεδα;
ξε′. Περὶ τῶν ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων καὶ ἕκαστα λεγομένων, οἷον τί ἐστι βάσις;
ξς′. Τί ἐστι πλευρά;
ξζ′. Τί ἐστι διαγώνιος;
ξη′. Τί ἐστι κάθετος;
ξθ′. Τί ἐστι κάθετος πρὸς ὀρθάς;

4 Τί] τί add. litt. initial. Τ C. 6 μη′] om. C. 7 μθ′] μς′ C. Ante τί ins. μζ′ C. 9 ν′] μη′ C, et simi-

43. Was ein gleichschenkliges?
44. Was ein ungleichseitiges?
45. Was ein rechtwinkliges?
46. Was ein spitzwinkliges?
47. Was ein stumpfwinkliges?
48. Eigentümlichkeiten der Dreiecke.
49. Von den vierseitigen Figuren. Was ist ein ebenes Viereck?
50. Welche sind die Arten der Vierecke?
51. Was sind Quadrate?
52. Was Rechtecke?
53. Was Rhomben?
54. Was Rhomboide?
55. Was Parallelogramme?
56. Von den rechtwinkligen Parallelogrammen.
57. Was ist der Gnomon in einem Parallelogramme?
58. Was ist allgemein ein Gnomon?
59. Was ist ein Trapez?
60. Welche sind die Trapeze?
61. Welche die Trapezoide?
62. Was ist ein gleichschenkliges Trapez?
63. Was ein ungleichseitiges Trapez?
64. Welche sind die Vielecke in der Ebene?
65. Von den einzelnen Benennungen an den gradlinigen Figuren in der Ebene, und zwar: was ist Grundlinie?
66. Was ist Seite?
67. Was ist Diagonale?
68. Was ist eine Kathete?
69. Was ist eine senkrecht stehende Kathete?

---

liter deinceps. 10 *τὰ*] C, om. F. 11 *τὰ*] C, *τε* F. 13 *τί ῥομβοειδῆ*] C, om. F. 14 *Τίνα τὰ* F, cfr. p. 42, 15. 18 *τί ἐστι τραπέζιον*] (ut p. 44, 15) falsum; cfr. Eucl. I def. 22. 23 *τίνα*] C, *τίνα ἄρα* F, cfr. p. 46, 7. 24 *τῶν*] CF, cfr. p. 46, 11. 25 *καὶ*] CF, cfr. p. 46, 12; *καθ'* Hultsch. *οἷον*] F, cfr. p. 46, 12; *ὅρ^ον* C. Ante *τί* ins. ξδ' C. 26 ξϛ'] ξε' C, et similiter deinceps.

ο'. Τίνες εἰσὶ εὐθεῖαι παράλληλοι;

οα'. Τίνες οὐ παράλληλοι εὐθεῖαι;

οβ'. Τί ἐστι τριγώνου ὕψος;

ογ'. Τίνα τῶν ἐπιπέδων σχημάτων συμπληροῖ τὸν τοῦ ἐπιπέδου τόπον;

Ἑρμηνεῖαι τῶν στερεομετρουμένων.

οδ'. Τίνες τῶν ἐν τοῖς στερεοῖς σχήμασι τῶν ἐπιφανειῶν διαφοραί;

οε'. Τίνες τῶν ἐν τοῖς στερεοῖς σχήμασι τῶν γραμμῶν διαφοραί;

ος'. Περὶ σφαίρας ἀσυνθέτου στερεοῦ σώματος καὶ σφαιρικῆς ἐπιφανείας.

οζ'. Τί κέντρον σφαίρας;

οη'. Τί ἄξων σφαίρας;

οθ'. Τί πόλος ἐν σφαίρᾳ;

π'. Τί κύκλος ἐν σφαίρᾳ;

πα'. Τί κύκλου πόλος ἐπὶ σφαίρᾳ;

πβ'. Ὅτι τῶν στερεῶν ἰσοπεριμέτρων σχημάτων μείζων ἡ σφαῖρα.

πγ'. Περὶ τῶν ἐξ ἀνομογενῶν συνθέτων στερεῶν σχημάτων οὕτως· τί κῶνος;

πδ'. Τί βάσις κώνου;

πε'. Τί κορυφὴ κώνου;

πς'. Τί ἄξων κώνου;

πζ'. Τίς ὁ ἰσοσκελὴς κῶνος;

πη'. Τίς ὁ σκαληνὸς κῶνος;

πθ'. Τίς ὀρθογώνιος κῶνος;

---

1 εὐθεῖαι παράλληλοι] εὐθεῖαι παραλληλογράμμων C, παραλληλόγραμμοι F, παράλληλοι γραμμαί Hultsch. 2 οὐ] F, οὖσαι C. 6 ἑρμηνεῖαι] C, ἑρμηνεία F; cfr. p. 50, 8. 7 οδ'] ins. C. τῶν (alt.)] del. Hultsch. ἐπιφανειῶν] F, ἐπιφερειῶν C. 9 οε'] C,

70. Welche sind parallele Gerade?
71. Welche sind nichtparallele Gerade?
72. Was ist Höhe eines Dreiecks?
73. Welche ebenen Figuren füllen den Raum der Ebene?

Erklärung der stereometrischen Benennungen.

74. Welche sind die Arten der Flächen in den körperlichen Figuren?
75. Welche die Arten der Linien in den körperlichen Figuren?
76. Von dem nicht zusammengesetzten soliden Körper, der Kugel, und von der Kugeloberfläche.
77. Was ist ein Kugelzentrum?
78. Was eine Kugelachse?
79. Was ist auf einer Kugel ein Pol?
80. Was ist ein Kreis auf einer Kugel?
81. Was ist der Pol eines Kreises auf einer Kugel?
82. Die Kugel ist größer als die körperlichen Figuren gleichen Umfangs.
83. Von den aus ungleichartigen zusammengesetzten körperlichen Figuren, und zwar: was ist ein Kegel?
84. Was ist Grundfläche eines Kegels?
85. Was Spitze eines Kegels?
86. Was Achse eines Kegels?
87. Welcher ist der gleichschenklige Kegel?
88. Welcher der ungleichseitige Kegel?
89. Welcher der rechtwinklige Kegel?

---

et sic deinceps. *τῶν*] C, om. F. *τῶν* (alt.)] C, om. F; cfr. p. 50, 9. 11 *ἀσυνθέτου*] C, *συνθέτου* F. 12 *ἐπιφανείας*] F, cfr. p. 52, 11; *ἐπιφερείας* C. 15 *τί*] C, *τί ἐστι* F. *ἐν σφαίρᾳ*] C, om. F; cfr. p. 54, 7. 17 *πα'—σφαίρᾳ*] om. F. *ἐπὶ*] C, cfr. p. 54, 11. 18 *τῶν στερεῶν ἰσοπεριμέτρων*] F, cfr. p. 54, 16; *τὸ στερεὸν ἰσοπλεύρων* C. 20 *ἀνομοιογενῶν* F, cfr. p. 54, 23. 21 *οὕτως*] om. F, cfr. p. 54, 24; *οἷον* Schmidt, del. Hultsch. Ante *τί* ins. *πδ'* C. 22 *πδ'*] *πε'* C, et similiter deinceps. *Τί*] om. F. 24 *πς'—κώνου*] om. F. 25 *ὁ*] om. F. *ἰσοσκελής*] F, *ἰσοσκελές* C. 26 *τί κῶνος σκαληνός* F. 27 *τίς*] C, *τί* F.

ϟʹ. *Τίς ὀξυγώνιος κῶνος;*

ϟαʹ. *Τίς ἀμβλυγώνιος κῶνος;*

ϟβʹ. *Τί κόλουρος κῶνος;*

ϟγʹ. *Τίς ἐπιφάνεια κώνου;*

ϟδʹ. *Τί τομὴ κώνου;*

ϟεʹ. *Περὶ κυλίνδρου ἄξονος καὶ βάσεως αὐτοῦ καὶ τομῆς κυλίνδρου.*

ϟϛʹ. *Περὶ τομῆς κοινῶς.*

ϟζʹ. *Περὶ τῶν ἐκ δύο περιφερειῶν στερεῶν σχημάτων, σπείρας ἤτοι κρίκου.*

ϟηʹ. *Τίνες αἱ τῶν εὐθυγράμμων στερεῶν σχημάτων διαφοραί;*

ϟθʹ. *Τί ἐστι πυραμίς;*

ρʹ. *Τί ἐστι κύβος;*

ραʹ. *Τί ἐστιν ὀκτάεδρον;*

ρβʹ. *Τί ἐστι δωδεκάεδρον;*

ργʹ. *Τί ἐστιν εἰκοσάεδρον;*

ρδʹ. *Ὅτι πλὴν τοῦ δωδεκαέδρου τὰ $\overline{δ}$ λόγον ἔχουσι πρὸς τὴν σφαῖραν.*

ρεʹ. *Τί ἐστι πρίσματα;*

ρϛʹ. *Τίνα τῶν σχημάτων οὔτε πυραμίδες οὔτε πρίσματά εἰσι;*

ρζʹ. *Τίνα δὲ παραλληλόγραμμα πρίσματα;*

ρηʹ. *Τίνα τὰ παραλληλεπίπεδα;*

ρθʹ. *Τίς ἡ ἐν στερεῷ κάθετος;*

ριʹ. *Τίνα τὰ παραλληλόπλευρα ὀρθογώνια πρίσματα, τίνα δὲ οὐκ ὀρθογώνια;*

ριαʹ. *Τί ἐστι κύβος;*

ριβʹ. *Τί ἐστι δοκός;*

---

1 *τίς*] C, *τί* F. 2 *τίς*] C, *τί* F. 4 ϟγʹ—*κώνου*] om. F. *κόνου* C. 6 *κυλίνδρου*] F, *κυλινδ8* C. *ἄξονος*] Hultsch, *ἄξω-*

90. Welcher der spitzwinklige Kegel?
91. Welcher der stumpfwinklige Kegel?
92. Was ist ein Kegelstumpf?
93. Welcher ist ein Kegelmantel?
94. Was ein Kegelschnitt?
95. Von der Achse eines Zylinders, seiner Grundfläche und dem Zylinderschnitt.
96. Vom Schnitt allgemein.
97. Von den aus zwei Peripherien gebildeten körperlichen Figuren, Wulst oder Ring.
98. Welche sind die Arten der gradlinigen körperlichen Figuren?
99. Was ist eine Pyramide?
100. Was ist ein Würfel?
101. Was ist ein Oktaeder?
102. Was ist ein Dodekaeder?
103. Was ist ein Ikosaeder?
104. Die 4 (Körper) außer dem Dodekaeder haben ein Verhältnis zur Kugel.
105. Was sind Prismen?
106. Welche unter den Figuren sind weder Pyramiden noch Prismen?
107. Und welche parallellinige Prismen?
108. Welche sind die Parallelepipeda?
109. Was ist eine Senkrechte im Raume?
110. Welche sind die parallelseitigen rechtwinkligen Prismen, und welche nicht rechtwinklige?
111. Was ist ein Würfel?
112. Was ist ein Balken?

νος CF. *αὐτοῦ καὶ βάσεως* F. 8 *κοινῆς* F. 9 *ἐκ*] F, om. C. 14 *ἔστι κύβος*] C, *ἔστιν εἰκοσάεδρον* F; cfr. p. 64, 1. 17 *ἔστιν εἰκοσάεδρον*] C, *ἔστι κύβος* F. 18 *ρδ´*] *ρε´* C, om. F. *Ὅτι*—19 *σφαῖραν*] C, om. F; cfr. p. 64, 19. 20 *πρίσμα* F. 22 *εἰσι*] C, om. F. 23 *τίνα—πρίσματα*] *περὶ παραλληλογράμμων πρισμάτων* F, mg. *ἴσως παραλληλοπλεύρων*. 27 Ante *τίνα δὲ* ins. *ριβ´* C. 28 *ρια´*] *ριγ´* C, et similiter deinceps. *ρια´*—*κύβος*] om. F.

ριγ'. Τί ἐστι πλινθίς;
ριδ'. Τί ἐστι σφηνίσκος;
ριε'. Τίνων καὶ πόσαι ἐν τοῖς σχήμασιν ἐπαφαί;
ριϛ'. Περὶ ἴσων καὶ ὁμοίων σχημάτων.
ριζ'. Περὶ ἴσων γραμμῶν.
ριη'. Περὶ ἴσων καὶ ἀντιπεπονθότων σχημάτων.
ριθ'. Περὶ τοῦ ἐν μεγέθεσιν ἀπείρου.
ρκ'. Περὶ τοῦ ἐν μεγέθεσι μέρους.
ρκα'. Περὶ πολλαπλασίου.
ρκβ'. Περὶ τῆς κατὰ μεγέθη ἀναλογίας.
ρκγ'. Τίνα λόγον ἔχει πρὸς ἄλληλα τὰ μεγέθη;
ρκδ'. Τίνα τὰ ἐν τῷ αὐτῷ λόγῳ μεγέθη ἐστίν;
ρκε'. Διάφοροι μεγεθῶν ἀναλογίαι.
ρκϛ'. Τίνα τὰ ὁμόλογα μεγέθη;
ρκζ'. Περὶ τῆς ἐν τοῖς μεγέθεσι τῶν λόγων διαφορᾶς.
ρκη'. Περὶ μεγεθῶν συμμέτρων καὶ ἀσυμμέτρων.
ρκθ'. Περὶ εὐθειῶν συμμέτρων καὶ ἀσυμμέτρων.
ρλ'. Τίνα μέρη τῶν ἐν τοῖς μεγέθεσι μετρήσεων καταμετροῦντα τὰ ὅλα;
ρλα'. Τί τῶν εἰρημένων ἕκαστον δύναται;
ρλβ'. Εὐθυμετρικά.
ρλγ'. Ἐμβαδομετρικά.
ρλδ'. Ἥρωνος ἀρχὴ τῶν γεωμετρουμένων.
ρλε'. Εἴδη τῆς μετρήσεως πέντε.
ρλϛ'. Κύκλων θεωρήματα $\overline{\delta}$.
ρλζ'. Ἥρωνος εἰσαγωγαὶ τῶν γεωμετρουμένων.]

---

2 σφηνίσκος] F, φηνίσκος C. 3 τίνων] C, τίνες F; cfr. p. 70, 8. σχήμα^σι^ C. ἐπαφαί] F, ἐπαμφίαι C. 5 ἴσων γραμμῶν] F, ἰσογράμμων C. 10 μεγέθη] F, μεγέθει C. 11 μεγέθη] F, μεγέθει C. 12 τὰ] C, om. F. αὐτῷ] F, αὐτῷ τῷ C. 13 διάφοροι] scripsi; διαφοραὶ C, διαφόρων F. ἀνα-

113. Was ist eine Plinthis?
114. Was ist ein Spheniskos?
115. Zwischen welchen und wie viele Berührungen gibt es bei den Figuren?
116. Von gleichen und ähnlichen Figuren.
117. Von gleichen Linien.
118. Von gleichen und umgekehrt proportionalen Figuren.
119. Vom Unendlichen in den Größen.
120. Vom Teil in den Größen.
121. Vom Vielfachen.
122. Von der Proportionalität an den Größen.
123. Welches Verhältnis haben die Größen zueinander?
124. Welche sind die Größen, die in demselben Verhältnis stehen?
125. Verschiedene Proportionalitäten der Größen.
126. Was sind homologe Größen?
127. Von der Verschiedenheit der Verhältnisse bei den Größen.
128. Von kommensurablen und inkommensurablen Größen.
129. Von kommensurablen und inkommensurablen Geraden.
130. Welche sind bei den Vermessungen der Größen die Teile, die das Ganze messen?
131. Was gilt jedes der genannten (Maße)?
132. Längenmaße.
133. Flächenmaße.
134. Anfang der Geometrie von Heron.
135. Fünf Arten der Vermessung.
136. 4 Sätze über Kreise.
137. Einleitung in die Geometrie von Heron.]

λογίαι] *ἀναλόγως* C; *ἀναλογία* F, mg. *ἴσως ἀναλογίαι*; cfr. p. 80, 9. 14 *ὁμόλογα*] *ἄλογα* F. 15 *τῆς*] F, *τοῖς* C. 18 *μεγέθεσι*] F, *μέρεσι* C. 26 *Ἥρωνος—γεωμετρουμένων*] C; *εἰσαγωγαὶ Ἥρωνος. ρλ΄. διαφοραὶ μεγεθῶν ἀναλόγων. ρλα΄. τίνα τὰ ὁμόλογα μεγέθη. ρλβ΄. περὶ τῆς ἐν τοῖς μεγέθεσι τῶν γραμμῶν διαφορᾶς* F.

Καὶ τὰ μὲν πρὸ τῆς γεωμετρικῆς στοιχειώσεως τεχνολογούμενα ὑπογράφων σοι καὶ ὑποτυπούμενος, ὡς ἔχει μάλιστα συντόμως, Διονύσιε λαμπρότατε, τήν τε ἀρχὴν καὶ τὴν ὅλην σύνταξιν ποιήσομαι κατὰ τὴν τοῦ Εὐκλείδου τοῦ στοιχειωτοῦ τῆς ἐν γεωμετρίᾳ θεωρίας διδασκαλίαν· οἶμαι γὰρ οὕτως οὐ μόνον τὰς ἐκείνου πραγματείας εὐσυνόπτους ἔσεσθαί σοι, ἀλλὰ καὶ πλείστας ἄλλας τῶν εἰς γεωμετρίαν ἀνηκόντων. ἄρξομαι τοίνυν ἀπὸ σημείου.

α΄. [Περὶ σημείου.]

Σημεῖόν ἐστιν, οὗ μέρος οὐθὲν ἢ πέρας ἀδιάστατον ἢ πέρας γραμμῆς, πέφυκε δὲ διανοίᾳ μόνῃ ληπτὸν εἶναι ὡσανεὶ ἀμερές τε καὶ ἀμέγεθες τυγχάνον. τοιοῦτον οὖν αὐτό φασιν εἶναι οἷον ἐν χρόνῳ τὸ ἐνεστὸς καὶ οἷον μονάδα θέσιν ἔχουσαν. ὅτι μὲν οὖν τῇ οὐσίᾳ ταὐτὸν τῇ μονάδι· ἀδιαίρετα γὰρ ἄμφω καὶ ἀσώματα καὶ ἀμέριστα· τῇ δὲ ἐπιφανείᾳ καὶ τῇ σχέσει διαφέρει· ἡ μὲν γὰρ μονὰς ἀρχὴ ἀριθμοῦ, τὸ δὲ σημεῖον τῆς γεωμετρουμένης οὐσίας ἀρχή, ἀρχὴ δὲ κατὰ ἔκθεσιν, οὐχ ὡς μέρος ὂν τῆς γραμμῆς, ὡς τοῦ ἀριθμοῦ μέρος ἡ μονάς, προεπινοούμενον δὲ αὐτῆς· κινηθέντος γὰρ ἢ μᾶλλον νοηθέντος ἐν ῥύσει νοεῖται γραμμή, καὶ οὕτω σημεῖον ἀρχή ἐστι γραμμῆς, ἐπιφάνεια δὲ στερεοῦ σώματος.

β΄. [Περὶ γραμμῆς.]

Γραμμὴ δέ ἐστι μῆκος ἀπλατὲς καὶ ἀβαθὲς ἢ τὸ

---

1 *μὲν*] mihi suspectum. 2 *ὑπογράφων*] F C², *ὑπόγραφον* C. 5 Ante *τῆς* del. *τῇ* C. 7 *πραγματείας*] C, *διδασκαλίας* F. *εὐσυνόπτους*] scripsi, *ἀσυνάπτους* CF, *εὐσυνάπτους* C². 12 *ληπτὸν*] Schmidt, *λοιπὸν* CF, *ἐπίληπτον* Dasypodius. 15 *ὅτι*] *ἔστι* Friedlein. *τῇ οὐσίᾳ*] C², *ἡ οὐσία* CF. 16—17 *καὶ ἀμέριστα*

Auch in dieser möglichst kurzen Darstellung und Abriß der kunstgerechten Vorbereitung zu den Elementen der Geometrie, hochverehrter Dionysios, werde ich mich sowohl in der Grundlegung als im ganzen Aufbau an die Lehre des Eukleides halten, des Verfassers der Elemente der geometrischen Wissenschaft; so glaube ich nämlich, daß nicht nur seine Arbeiten, sondern auch viele andere über Gegenstände, die unter die Geometrie gehören, dir übersichtlich sein werden. Ich werde also mit dem Punkte anfangen.

1. [Vom Punkte.]

Ein Punkt ist, was keinen Teil hat oder eine Grenze ohne Ausdehnung oder Grenze einer Linie, und sein Wesen ist es nur dem Gedanken faßbar zu sein, weil er sowohl ohne Teile als ohne Größe ist. Man sagt daher, daß er von derselben Beschaffenheit ist als das Nu in der Zeit und die im Raume fixierte Einheit. Dem Wesen nach ist er nun offenbar dasselbe als die Einheit; denn beide sind unteilbar, körperlos und teilerlos; aber der Erscheinung und dem Verhalten nach sind sie verschieden; denn die Einheit ist Anfang der Zahl, der Punkt aber der geometrischen Gebilde Anfang, und zwar Anfang der Auseinandersetzung nach, nicht als Teil der Linie, wie die Einheit Teil der Zahl ist, und gedanklich ihr vorausgehend; denn aus der Bewegung des Punktes oder richtiger aus der Vorstellung eines im Fluß befindlichen Punktes entsteht die Vorstellung einer Linie, und in dem Sinne ist der Punkt Anfang der Linie wie die Fläche der des soliden Körpers.

2. [Von der Linie.]

Eine Linie aber ist eine Länge ohne Breite und Tiefe

καὶ ἀσώματα F. 20 *ὄν*] Hultsch, *ὢν* CF. 21 *προεπινοούμενον*] scripsi, *προεπινοουμένου* CF. 22 *γραμμή, καί*] scripsi, *γραμμῆς* CF, *γραμμή* Hasenbalg. 23 *οὕτω*] scripsi, *ὅτε* CF. *σημεῖον*] mg. F^2, *σημεῖα* CF. *γραμμῆς, γραμμὴ δὲ ἐπιφανείας, ἐπιφάνεια* Mayring.

πρῶτον ἐν μεγέθει τὴν ὑπόστασιν λαμβάνον ἢ τὸ ἐφ' ἓν διαστατόν τε καὶ διαιρετόν· γίνεται δὲ σημείου ῥυέντος ἄνωθεν κάτω ἐννοίᾳ τῇ κατὰ τὴν συνέχειαν, περιέχεταί τε καὶ περατοῦται σημείοις πέρας ἐπιφανείας αὐτὴ γενομένη. λέγοιτο δὲ ἂν εἶναι γραμμὴ τὸ διαιροῦν ἀπὸ τῆς σκιᾶς τὴν ἡλιακὴν ἀκτῖνα ἢ ἀπὸ τοῦ πεφωτισμένου μέρους τὴν σκιὰν καὶ ἐν ἱματίῳ ὡς ἐν συνεχεῖ νοουμένῳ τὸ χωρίζον τὴν πορφύραν ἀπὸ τοῦ ἐρίου ἢ τὸ ἔριον ἀπὸ τῆς πορφύρας. ἤδη δὲ κἂν τῇ συνηθείᾳ τῆς γραμμῆς ἔννοιαν ἔχομεν ὡς μῆκος μόνον ἐχούσης, οὐκέτι δὲ πλάτος ἢ βάθος. λέγομεν γοῦν· εἷς τοῖχός ἐστι καθ' ὑπόθεσιν πηχῶν $\overline{\rho}$, οὐκέτι ἀποβλέποντες εἰς τὸ πλάτος ἢ τὸ πάχος, ἡ ὁδὸς σταδίων $\overline{\nu}$, τὸ μῆκος μόνον, οὐκέτι δὲ καὶ τὸ πλάτος αὐτῆς πολυπραγμονοῦντες, ὡς γραμμικὴν ἡμῖν εἶναι καὶ τὴν τοιαύτην ἐξαρίθμησιν· αὐτίκα καὶ εὐθυμετρικὴ καλεῖται.

γ'. [Τίνες αἱ τῶν γραμμῶν διαφοραί;]

Τῶν γραμμῶν αἱ μέν εἰσιν εὐθεῖαι, αἱ δὲ οὔ, καὶ τῶν μὴ εὐθειῶν αἱ μέν εἰσι κυκλικαὶ περιφέρειαι ὀνομαζόμεναι, αἱ δὲ ἑλικοειδεῖς, αἱ δὲ καμπύλαι.

δ'. [Τίς εὐθεῖα γραμμή;]

Εὐθεῖα μὲν οὖν γραμμή ἐστιν, ἥτις ἐξ ἴσου τοῖς ἐπ' αὐτῆς σημείοις κεῖται ὀρθὴ οὖσα καὶ οἷον ἐπ' ἄκρον τεταμένη ἐπὶ τὰ πέρατα· ἥτις δύο δοθέντων σημείων μεταξὺ ἐλαχίστη ἐστὶν τῶν τὰ αὐτὰ πέρατα

---

1 λαμβάνον] F, λαμβάνων C. ἐφ'] Hasenbalg, om. CF. 3 τῇ] γε Friedlein. 7 καὶ] ἢ Schmidt. 9 ἢ] Schmidt, καὶ CF. 11 εἷς] F, εἰς C. 13 ἢ (alt.)] mg. F[2], ἡ CF. 14 αὐτῆς] scripsi, αὐτῶν CF. 17 διαφοραί] F, cfr. p. 2, 3;

oder das, was innerhalb der Größe zuerst Existenz annimmt, oder was nach einer Dimension Ausdehnung hat und teilbar ist, und sie entsteht, indem ein Punkt von oben nach unten gleitet mittels des Kontinuitätsbegriffs, und ist eingeschlossen und begrenzt durch Punkte, während sie selbst Grenze einer Fläche ist. Linie kann man nennen, was das Sonnenlicht vom Schatten oder den Schatten vom beleuchteten Teil abtrennt, und an einem Kleid als ein Kontinuierliches betrachtet was den Purpurstreifen von der Wolle oder die Wolle vom Purpurstreifen scheidet. Und auch schon im gewöhnlichen Sprachgebrauch haben wir den Begriff der Linie als etwas, das nur Länge hat, nicht aber zugleich Breite und Dicke. Wir sagen ja: eine Wand ist z. B. 100 Ellen lang, ohne zugleich die Breite oder Dicke zu berücksichtigen, oder: ein Weg von 50 Stadien, indem wir uns nur um die Länge, nicht aber zugleich auch um seine Breite kümmern, so daß auch diese Vermessung für uns linear ist; sie wird ja auch Längenmessung genannt.

3. [Welche sind die Arten der Linien?]

Die Linien sind teils gerade teils nicht, die nicht geraden sind teils Kreislinien, Bogen genannt, teils Schraubenlinien, teils krumme.

4. [Was ist eine gerade Linie?]

Eine gerade Linie ist eine solche, die eine den auf ihr befindlichen Punkten gleichmäßige Lage hat, gleichlaufend und wie völlig ausgespannt zwischen den Endpunkten. Sie ist zwischen zwei gegebenen Punkten die kleinste der Linien, welche dieselben Endpunkte haben, sie ist so beschaffen, daß

εὐθεῖαι C. 19 *μὴ*] Dasypodius, *μὲν* CF. 23 *ἐπ' αὐτῆς*] Hultsch, *ἐπ' αὐτοῦ* C, *ἐπ' αὐτὸν* F, *ἐπ' αὐτὴν* mg. F², *ἐφ' ἑαυτῆς* Dasypodius ex Euclide I p. 2, 4. 24 *τεταμένη*] Hultsch, *τεταμμένη* CF. *ἥτις*] *ἢ ἥτις* Mayring. 25 *μεταξὺ*] Mayring, cfr. Theo Smyrn. p. 111, 24; *ἡ μεταξὺ* CF. *ἐλαχίστη*] Dasypodius, *ἐλάχιστος* CF. *ἐστὶ* F.

ἐχουσῶν γραμμῶν, καὶ ἧς πάντα τὰ μέρη πᾶσι τοῖς μέρεσι παντοίως ἐφαρμόζειν πέφυκε, καὶ τῶν περάτων μενόντων καὶ αὐτὴ μένουσα, οἷον ἐν τῷ αὐτῷ ἐπιπέδῳ στρεφομένη καὶ περὶ τὰ αὐτὰ πέρατα, τὸν αὐτὸν ἀεὶ τόπον ἔχουσα. οὔτε δὲ μία εὐθεῖα οὔτε δύο σχῆμα τελοῦσιν.

ε'. [Τίνες αἱ κυκλικαὶ γραμμαί;]

Κυκλικαὶ γραμμαί εἰσιν, ὅσαι περὶ ἓν σημεῖον περιφερῶς ἐπ' ἄκρον τεταμέναι ἢ κύκλους ἢ μέρη κύκλων ἀποτελοῦσι μόναι τῶν ἄλλων γραμμῶν σχήματος οὖσαι ποιητικαί.

ϛ'. [Τίνες αἱ καμπύλαι γραμμαί;]

Τῶν δὲ καμπύλων γραμμῶν ἔστιν μέντοι πλῆθος ἄπειρον· αἱ μὲν γὰρ ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχουσιν, αἱ δὲ οὔ. ἐπὶ τὰ αὐτὰ μὲν οὖν κοίλη γραμμή ἐστιν, ὅταν δύο σημείων ληφθέντων αὐτῆς ὁποιωνοῦν ἡ τὰ σημεῖα ἐπιζευγνύουσα εὐθεῖα ἤτοι κατ' αὐτῆς πίπτῃ τῆς γραμμῆς ἢ ἐντός, ἐκτὸς δὲ μηδέποτε. οὐκ ἐπὶ τὰ αὐτὰ μέρη κοίλη γραμμή ἐστιν ἡ οὐχ οὕτως ἔχουσα.

ζ'. [Τίνες αἱ ἑλικοειδεῖς γραμμαί;]

Ἕλιξ δὲ γραμμή ἐστιν ἐν ἐπιπέδῳ μέν, ἐὰν εὐθείας μένοντος τοῦ ἑτέρου πέρατος [καὶ] κινουμένης ἐν τῷ ἐπιπέδῳ, ἕως εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, φέρηταί τι σημεῖον ἀπὸ τοῦ μένοντος πέρατος ὁμοῦ ἀρξάμενον τῇ εὐθείᾳ· καὶ ἡ μὲν ἀπὸ ταύτης τῆς εὐθείας γινομένη γραμμὴ κύκλος ἔσται, ἡ δὲ ἀπὸ τοῦ κατὰ τῆς εὐθείας

1 ἧς] Dasypodius, εἰς CF. 2 καὶ] ἢ ἡ Schmidt, cfr. Proclus in Eucl. p. 110, 21. 16 ὁποιωνοῦν] FC[2], ὁποιονοῦν C.

alle Teile mit allen Teilen vollständig kongruieren, und wenn die Endpunkte bleiben, bleibt sie auch selbst, wenn sie gleichsam in derselben Ebene und um dieselben Endpunkte gedreht wird, indem sie immer denselben Ort einnimmt. Weder eine noch zwei Geraden bringen eine Figur zustande.

5. [Was sind Kreislinien?]

Kreislinien sind solche, die um einen Punkt in die Runde völlig ausgespannt entweder Kreise oder Kreisteile bilden, indem sie zum Unterschied von allen anderen Linien allein im Stande sind eine Figur hervorzubringen.

6. [Was sind krumme Linien?]

Von den krummen Linien aber gibt es in der Tat eine unbegrenzte Anzahl; sie haben nämlich teils die Krümmung nach derselben Seite teils nicht. Eine Linie ist nun nach derselben Seite gekrümmt, wenn die Gerade, die zwei beliebig herausgegriffene ihrer Punkte verbindet, entweder auf der Linie selbst fällt oder innerhalb derselben, außerhalb aber niemals. Nicht nach derselben Seite gekrümmt aber ist eine Linie, die sich so nicht verhält.

7. [Was sind Schneckenlinien?]

Eine Schneckenlinie aber entsteht, in der Ebene, wenn, während eine Gerade, deren einer Endpunkt fest bleibt, sich in der Ebene bewegt, bis sie wieder zu derselben Lage zurückgekehrt ist, vom festen Endpunkt gleichzeitig mit der Linie anfangend ein Punkt sie durchläuft; dann wird die durch jene Gerade entstehende Linie ein Kreis sein, die aber, welche durch den die Gerade durchlaufenden Punkt

---

18 *πίπτῃ*] Hultsch, *πίπτει* CF. 19 *οὐχ*] Dasypodius, om. C; *οὐκ* F, mg. C². 23 *μένοντος*] Dasypodius, cfr. Archimedes II p. 50, 23; *μενούσης* CF. *καὶ*] del. Hultsch. 24 *ἕως*] *ἕως ἄν* Hultsch. 26 *γινομένη*] *κινουμένη* F. 27 *κύκλος*] *κοίλη* F. *κατὰ*] Schmidt, cfr. Archimedes II p. 52, 3; om. CF.

φερομένου σημείου ἕλιξ καλεῖται. ἐὰν δὲ παραλληλογράμμου ὀρθογωνίου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν γωνίαν περιενεχθέντος τὸ μὲν παραλληλόγραμμον εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, ἅμα δὲ τῷ παραλληλογράμμῳ σημεῖόν τι φέρηται κατ' αὐτῆς τῆς μὴ μενούσης παραλλήλου ἀρξάμενον ἀπὸ τοῦ ἑτέρου πέρατος, τὸ μὲν [οὖν] περιληφθὲν σχῆμα ὑπὸ τῆς τοῦ παραλληλογράμμου κινήσεως καλεῖται κύλινδρος, ἡ δὲ ὑπὸ τοῦ φερομένου σημείου γραμμὴ γίνεται ἕλιξ, ἧς πᾶν μέρος ἐπὶ πᾶν ἐφαρμόζει, ὅταν ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἔχῃ.

η'. [Περὶ ἐπιφανείας.]

Ἐπιφάνειά ἐστιν, ὃ μῆκος καὶ πλάτος μόνον ἔχει ἢ πέρας σώματος καὶ τόπου ἢ τὸ ἐπὶ δύο διαστατὸν ἀβαθὲς ἢ τὸ παντὸς στερεοῦ τε καὶ ἐπιπέδου σχήματος κατὰ δύο διαστάσεις μήκους καὶ πλάτους ἐπιφαινόμενον πέρας. γίνεται δὲ ῥύσει ὑπὸ γραμμῆς κατὰ πλάτος ἀπὸ δεξιῶν ἐπ' ἀριστερὰ ῥυείσης. καὶ νοοῖτ' ἂν εἶναι ἐπιφάνεια πᾶσα σκιὰ καὶ πᾶσα χρόα, καθ' ὃ καὶ χρόας ἐκάλουν οἱ Πυθαγόρειοι τὰς ἐπιφανείας· νοοῖτο καί, καθ' ὃ μίγνυται ὁ ἀὴρ τῇ γῇ ἢ ἄλλῳ στερεῷ σώματι ἢ ὁ ἀὴρ ὕδατι ἢ τὸ ὕδωρ ποτηρίῳ ἢ ἄλλῳ τινὶ δοχείῳ.

[Τίνες αἱ τῶν ἐπιφανειῶν γενικαὶ διαφοραί· ἢ τίς ἐπίπεδος ἐπιφάνεια;]

Τῶν δὲ ἐπιφανειῶν αἱ μὲν ἐπίπεδοι καλοῦνται, αἱ δὲ οὔ.

---

1 φερομένου] Dasypodius, φερομένης C, φερομένη F. δὲ] Friedlein, om. CF. 2 ὀρθογωνίου] F; ὀρθογώνου C, mg. F. 2 τῶν—3 γωνίαν] del. Mayring. 3 περιενεχθέντος] scripsi, περιενεχθέντων CF, περιενεχθέν Dasypodius. μὲν τό Dasypodius. παραλληλόγραμμον] F, παραλληλογράμμων C. 4 ἀπο-

entsteht, wird Schneckenlinie genannt. Wenn aber, indem ein rechtwinkliges Parallelogramm sich herumbewegt, während eine der den rechten Winkel umschließenden Seiten fest bleibt, das Parallelogramm wieder zu derselben Lage zurückkehrt, von der aus es sich zu bewegen anfing, und gleichzeitig mit dem Parallelogramm ein Punkt sich auf der nicht fest bleibenden Parallelen selbst bewegt von dem einen Endpunkt anfangend, so wird die durch die Bewegung des Parallelogramms entstandene Figur Zylinder genannt, die Linie aber, die von dem sich bewegenden Punkt beschrieben wird, ist eine Schneckenlinie, von der jeder Teil mit jedem kongruiert, wenn sie die Krümmung nach derselben Seite haben.

8. [Von der Fläche.]

Eine Fläche ist, was nur Länge und Breite hat, oder Grenze eines Körpers und eines Raumes, oder was nach zwei Dimensionen Ausdehnung hat ohne Tiefe, oder die begrenzende Oberfläche jeder soliden und ebenen Figur nach den zwei Dimensionen der Länge und Breite. Sie entsteht durch Gleiten einer Linie, die in der Breite von rechts nach links gleitet. Und als Fläche kann man sich vorstellen jeden Schatten und jede Farbe, weshalb die Pythagoreer auch die Flächen „Farben" nannten; ferner das, wo die Luft mit der Erde oder mit einem anderen soliden Körper zusammenstößt oder die Luft mit dem Wasser oder das Wasser mit dem Becher oder einem anderen Behälter.

[Welche sind die Hauptarten der Flächen, oder was ist eine ebene Fläche?]

Die Flächen aber werden teils ebene genannt, teils nicht ebene.

κατασταθῇ] Dasypodius, *ἀποκατεστάθη* C, *ἀποκατεσταθῇ* F. 5 *ἅμμα* F. 6 *μὴ*] Dasypodius, om. CF. 7 *οὖν*] deleo. 9 *ὑπὸ*] *ἀπό*? cfr. p. 18, 27. 11 *ἔχει* F, sed corr. 18 *ῥυείσης*] Hasenbalg (Dasypodii *ῥυήσεις* idem sibi uult), *ῥύησις* C, *ῥύσις* F. *νοοῖτ'*] Mayring (*νοοῖτο*), *νοεῖτ'* CF. 20 *Πυθαγόρειοι*] F, *πυθαγόριοι* C. *καὶ*] *κἄν* Hultsch. 22 *δοχίῳ* F. 23 *γενικαὶ*] *γενόμεναι* F.

θ'. [Τί ἐστιν ἐπίπεδος ἐπιφάνεια;]

Ἐπίπεδος ἐπιφάνειά ἐστιν, ἥτις ἐξ ἴσου ταῖς ἐφ' ἑαυτῆς εὐθείαις κεῖται ὀρθὴ οὖσα ἀποτεταμένη· ἧς ἐπειδὰν δύο σημείων ἅψηται εὐθεῖα, καὶ ὅλη αὐτῇ κατὰ πάντα τόπον παντοίως ἐφαρμόζεται, τουτέστιν ἡ κατὰ ὅλην εὐθεῖαν ἐφαρμόζουσα, καὶ ἡ ἐλαχίστη πασῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν ἐπιφανειῶν, καὶ ἧς πάντα τὰ μέρη ἐφαρμόζειν πέφυκε.

ι'. [Τίς δὲ οὐκ ἐπίπεδος ἐπιφάνεια;]

Οὐκ ἐπίπεδοι ἐπιφάνειαί εἰσιν αἱ μὴ οὕτως ἔχουσαι, τουτέστιν αἱ μὴ πάντη κατ' εὐθείας φερόμεναι γραμμάς, ἔχουσαι δέ τινα ἀνωμαλίαν καὶ οὐκ ὀρθαὶ δι' ὅλου.

ια'. [Περὶ στερεοῦ σώματος.]

Στερεόν ἐστι σῶμα τὸ μῆκος καὶ πλάτος καὶ βάθος ἔχον ἢ τὸ ταῖς τρισὶ διαστάσεσι κεχρημένον. καλοῦνται δὲ στερεὰ σώματα καὶ οἱ τόποι. σῶμα μὲν οὖν μαθηματικόν ἐστι τὸ τριχῇ διαστατόν, σῶμα δὲ ἁπλῶς τὸ τριχῇ διαστατὸν μετὰ ἀντιτυπίας. περατοῦται δὲ πᾶν στερεὸν ὑπὸ ἐπιφανειῶν καὶ γίνεται ἐπιφανείας ἀπὸ τῶν πρόσω [ἔμπροσθεν] ἐπὶ τὰ ὀπίσω ἐνεχθείσης.

ιβ'. [Περὶ γωνίας καὶ κεκλασμένης γραμμῆς.]

Γωνία ἐστὶ συναγωγὴ πρὸς ἓν σημεῖον ὑπὸ κεκλασμένης ἐπιφανείας ἢ γραμμῆς ἀποτελουμένη. κεκλασ-

---

3 *αὐτῆς* F. *ἀποτεταμένη*] F, *ἀποτεταμμένη* C. *ἧς*] Hultsch, *ἥν* CF. 4 *αὐτῇ*] Schmidt, *αὐτή* CF. 6 *καί*] *ἥ* Schmidt. *πασῶν*] C; *πἄτων* F, mg. *ἴσως πασῶν*. 7 *ἧς*] Dasypodius, *εἰς*

9. [Was ist eine ebene Fläche?]

Eine ebene Fläche ist eine solche, die eine den auf ihr befindlichen Geraden gleichmäßige Lage hat gleichlaufend ausgespannt; und wenn eine Gerade zwei ihrer Punkte rührt, fällt auch die ganze Gerade an jeder Stelle vollkommen mit ihr zusammen, also eine Fläche, die mit einer Geraden in ihrer ganzen Länge zusammenfällt, und die kleinste von allen Flächen, die dieselben Grenzen haben, und eine solche, deren sämtliche Teile die Eigenschaft haben, unter sich zu kongruieren.

10. [Was ist eine nicht ebene Fläche?]

Nicht ebene Flächen sind solche, die sich nicht so verhalten, d. h. die sich nicht nach allen Richtungen hin nach geraden Linien bewegen, sondern eine Ungleichmäßigkeit haben und nicht durch und durch gleichlaufend sind.

11. [Vom soliden Körper.]

Ein solider Körper ist, was Länge, Breite und Tiefe hat, oder was drei Dimensionen besitzt. Ein mathematischer Körper ist also wie gesagt, was nach drei Dimensionen Ausdehnung hat, Körper im allgemeinen aber, was nach drei Dimensionen Ausdehnung hat und Widerstand leistet. Begrenzt aber ist jeder solide Körper von Flächen und entsteht, indem eine Fläche sich von vorn nach hinten bewegt.

12. [Vom Winkel und von der gebrochenen Linie.]

Ein Winkel ist die von einer gebrochenen Fläche oder Linie gebildete Zusammenziehung auf einen Punkt zu. Ge-

---

CF. 8 Post *μέρη* add. *πᾶσι τοῖς μέρεσι παντοίως* Hultsch praeeunte Mayringio, cfr. p. 18, 1. 11 *εὐθείας φερόμεναι γραμμάς*] Hultsch, *εὐθεῖαν φερόμεναι γραμμαί* CF. 17 *σῶμα* —18 *διαστατόν*] om. F. 21 *ἔμπροσθεν*] om. Dasypodius. *ἐπενεχθείσης* F, corr. mg. 23 *κεκλασμένη γραμμῇ ἢ ἐπιφανείᾳ* Proclus in Eucl. p. 123, 17; cfr. infra p. 24, 15. 24 *ἀποτελουμένης* F.

μένη δὲ λέγεται γραμμή, ἥτις ἐκβαλλομένη οὐ συμπίπτει αὐτὴ καθ' ἑαυτῆς.

ιγ'. [Τίνες αἱ γενικαὶ γωνιῶν διαφοραί;]

Τῶν δὲ γωνιῶν αἱ μέν εἰσιν ἐπίπεδοι, αἱ δὲ στερεαί, καὶ τῶν ἐπιπέδων ἢ στερεῶν αἱ μέν εἰσιν εὐθύγραμμοι, αἱ δὲ οὔ.

ιδ'. [Τί ἐστι κοινῶς ἐπίπεδος γωνία;]

Ἐπίπεδος μὲν οὖν ἐστι κοινῶς γωνία ἡ ἐν ἐπιπέδῳ δύο γραμμῶν ἁπτομένων ἀλλήλων καὶ μὴ ἐπ' εὐθείας κειμένων πρὸς ἀλλήλας τῶν γραμμῶν κλίσις. εἰσὶ δὲ οὐ συνεχεῖς ἁπτόμεναι ἀλλήλων αἱ γραμμαί, ὅταν ἡ ἑτέρα προσεκβαλλομένη κατὰ τὴν ἑαυτῆς σύννευσιν μὴ πίπτῃ κατὰ τῆς ἑτέρας. καὶ ἄλλως δέ· ἐπίπεδός ἐστι γωνία γραμμῆς ἐν ἐπιπέδῳ πρὸς ἑνὶ σημείῳ κλάσις ἢ συναγωγὴ πρὸς ἓν σημεῖον ὑπὸ κεκλασμένῃ γραμμῇ.

ιε'. [Τίς ἡ ἐπίπεδος εὐθύγραμμος γωνία;]

Ἐπίπεδος δὲ εὐθύγραμμος καλεῖται γωνία, ὅταν αἱ περιέχουσαι αὐτὴν γραμμαὶ εὐθεῖαι ὦσιν [ἐπίπεδος δὲ γωνία ἡ ἐν ἐπιπέδῳ πρὸς ἑνὶ σημείῳ σύννευσις γραμμῆς], ἢ γραμμῆς εὐθείας πρὸς ἑνὶ σημείῳ κλάσις· οὕτω γοῦν γλωχῖνας ἐκάλουν οἱ Πυθαγόρειοι τὰς γωνίας.

---

1 ἐκβαλομένη C. οὐ] Hasenbalg, cfr. p. 28 , 22; om. CF. συμπίπτει] πίπτει Schmidt, cfr. lin. 13. 2 αὐτὴ] Dasypodius, αὐτῇ CF. ἑαυτῆς] Hasenbalg, cfr. p. 18, 17 al.; ἑαυτήν C, αὐτήν F. 6 εὐθύγραμμαι F. 10 κλίσις] Dasy-

brochen aber wird eine Linie genannt, deren Verlängerung nicht mit ihr selbst zusammenfällt.

13. [Welche sind die allgemeinen Arten der Winkel?]

Die Winkel aber sind teils ebene, teils solide, und die ebenen oder soliden sind teils gradlinig, teils nicht.

14. [Was ist allgemein ein ebener Winkel?]

Ein ebener Winkel allgemein ist nun, wenn zwei Linien in der Ebene einander rühren ohne auf einer Geraden zu liegen, die Neigung der Linien gegeneinander. Einander rührend aber, ohne kontinuierlich zu sein, sind die Linien, wenn die eine, nach der Richtung ihrer Neigung auf die andere verlängert, nicht auf der anderen fällt. Und auf andere Weise: ein ebener Winkel ist die Brechung einer Linie in der Ebene an einem Punkt oder eine Zusammenziehung auf einen Punkt zu unter einer gebrochenen Linie.

15. [Was ist der ebene gradlinige Winkel?]

Gradlinig eben aber wird ein Winkel genannt, wenn die ihn umschließenden Linien Geraden sind, oder die Brechung einer geraden Linie an einem Punkt; nach dieser Auffassung haben ja die Pythagoreer die Winkel Spitzen genannt.

---

podius, *κλίσεις* CF. 12 *σύννευσιν*] Hasenbalg, *σύνευσιν* C; *σύνεσιν* F, mg. *ἴσως σύνευσιν.* 14 *γωνίας* F. 15 *κλάσις*] Dasypodius, cfr. Proclus in Eucl. p. 125, 10; *κλίσις* CF. *ἢ*] Dasypodius, *ἡ* CF. *ὑποκεκλασμένη γραμμή* C, *ἀποκεκλασμένη γραμμή* F, *ὑπὸ κεκλασμένης γραμμῆς* Dasypodius. 19 *ἐπίπεδος*—21 pr. *γραμμῆς*] del. Friedlein. 20 *ἑνὶ σημείῳ*] scripsi, *ἀνίσους* CF. *σύννευσις*] Hasenbalg, *σύνευσις* CF. 21 *γραμμῆς* (pr.)] F, *γραμμᾶς* C. *ἢ*] Dasypodius, *ἡ* CF. *γραμμῆς* (alt.)] Dasypodius, *γραμμή* CF. *κλάσις*] Dasypodius, *κλίσις* CF. 22 *Πυθαγόρειοι*] F, *Πυθαγόριοι* C.

ις'. [Τίνες αἱ τῶν εὐθυγράμμων γωνιῶν διαφοραί;]

Τῶν ἐν τοῖς ἐπιπέδοις οὐκ εὐθυγράμμων γωνιῶν πλῆθός ἐστιν ἄπειρον. τῶν δὲ ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων γωνιῶν εἴδη ἐστὶ τρία· αἱ μὲν γὰρ ὀρθαί, αἱ δὲ ὀξεῖαι, αἱ δὲ ἀμβλεῖαι καλοῦνται.

ιζ'. [Τίς ἡ ὀρθὴ γωνία;]

Ὀρθὴ μὲν οὖν ἐστι γωνία ἡ τῇ ἀντικειμένῃ ἴση. ἀντικείμεναι δέ εἰσιν, ἃς ποιεῖ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα· ὅταν γὰρ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα τὰς ἐφεξῆς γωνίας ἴσας ἀλλήλαις ποιῇ, ὀρθὴ ἑκατέρα τῶν ἴσων γωνιῶν ἐστιν.

ιη'. [Τίς ἡ ὀξεῖα γωνία;]

Ὀξεῖα γωνία ἐστὶν ἡ ἐλάττων ὀρθῆς.

ιθ'. [Τίς ἡ ἀμβλεῖα γωνία;]

Ἀμβλεῖα δὲ ἡ μείζων ὀρθῆς· ὅταν γὰρ εὐθεῖα ἐπ' εὐθεῖαν σταθεῖσα γωνίας ἀνίσους ποιῇ, ἡ μὲν ἐλάττων καλεῖται ὀξεῖα, ἡ δὲ μείζων ἀμβλεῖα.

κ'. [Πῶς ἔχουσι πρὸς ἀλλήλας αἱ εὐθύγραμμοι;]

Πᾶσα μὲν ὀρθὴ πάσῃ ὀρθῇ ἐστιν ἴση, οὐκέτι δὲ πᾶσα ὀξεῖα πάσῃ ὀξείᾳ ἐστὶν ἴση, οὐδὲ πᾶσα ἀμβλεῖα πάσῃ ἀμβλείᾳ ἐστὶν ἴση. εὐθείας γὰρ ἐπὶ εὐθεῖαν σταθείσης καὶ ἐγκλινάσης ἀπὸ τῆς ὀρθῆς μέχρι τούτου

---

3 εὐθυγράμμων] οὐκ εὐθυγράμμων C, corr. C². 8 ἐπ'— 9 εὐθεῖαν] om. F. 8 εὐθεῖαν] Dasypodius, cfr. Eucl. I def. 10; εὐθεῖα C. 9 εὐθεῖαν] Dasypodius, εὐθεῖα C. 10 ἀλλήλαις ποιῇ] Hasenbalg, cfr. Eucl. I p. 4, 1; ἀλλήλας ποιεῖ CF. 13 ἐλάττων] F, ἔλαττον C. 15 δὲ] γωνία F. 16 ποιεῖ F. ἐλάττων] ἔλαττων F, ἔλαττον C. 17 μείζων] F, μεῖζον C.

16. [Welche sind die Arten der gradlinigen Winkel?]

Von den nicht gradlinigen Winkeln in der Ebene gibt es eine unendliche Anzahl. Von den gradlinigen Winkeln aber in der Ebene gibt es drei Arten; teils werden sie nämlich rechte, teils spitze, teils stumpfe genannt.

17. [Was ist der rechte Winkel?]

Recht ist nun der Winkel, der dem gegenüberliegenden gleich ist. Gegenüberliegend aber sind die Winkel, die eine Gerade auf einer Geraden aufgerichtet bildet; wenn nämlich eine Gerade auf einer Geraden aufgerichtet die Nachbarwinkel unter sich gleich bildet, ist jeder der beiden gleichen Winkel ein rechter.

18. [Was der spitze Winkel?]

Ein spitzer Winkel ist ein solcher, der kleiner ist als ein rechter.

19. [Was ein stumpfer Winkel?]

Ein stumpfer aber ein solcher, der größer ist als ein rechter; wenn nämlich eine Gerade auf einer Geraden aufgerichtet ungleiche Winkel bildet, wird der kleinere spitz genannt, der größere aber stumpf.

20. [Wie verhalten sich die gradlinigen Winkel zueinander?]

Jeder rechte Winkel ist jedem rechten gleich, dagegen ist nicht auch jeder spitze jedem spitzen gleich, noch jeder stumpfe jedem stumpfen gleich. Wenn nämlich eine Gerade auf einer Geraden aufgerichtet wird und von dem rechten Winkel aus sich vorwärts neigt, so wird der spitze Winkel immer kleiner, bis die Geraden selbst zusammenfallen und

---

18 *εὐθύγραμμοι*] Schmidt, *εὐθύγραμμοι γραμμαί* CF, *εὐθύγραμμοι γωνίαι* Hultsch, cfr. p. 2, 20. 20 *πάσῃ ὀξείᾳ*] mg. F, om. C. 22 *ἐγκλινάσης*] Hasenbalg, cfr. Proclus in Eucl. p. 134, 26; *ἐκκλινάσης* CF.

ἐλαττοῦται ἡ ὀξεῖα, ἕως συνιζήσωσιν αὐταὶ αἱ εὐθεῖαι καὶ ἐφίκωνται ἀλλήλων, εὐθείας δὲ ἐπ᾽ εὐθεῖαν σταθείσης καὶ ἀποκλινάσης ἀπὸ τῆς ὀρθῆς γωνίας μέχρι τούτου μείζων γίνεται ἡ ἀμβλεῖα, ἕως ἂν ὑπτιάσασα ἡ κάθετος ἐπ᾽ εὐθείας καὶ συνεχὴς γένηται τῇ ὑποκειμένῃ.

κα'. [Ὅτι ἡ ὀρθὴ γωνία καὶ τὸ νῦν καὶ ἡ μονὰς ὁμοίως ἔχουσιν.]

Ἡ ὀρθὴ γωνία καὶ τὸ νῦν καὶ μονὰς ὁμοίως ἔχουσιν· ἥ τε γὰρ ὀρθὴ γωνία ἀεὶ ἕστηκεν ἡ αὐτὴ μένουσα τῆς ὀξείας καὶ ἀμβλείας ἐπ᾽ ἄπειρον μετακινουμένων, ἥ τε μονὰς μὲν αὐτὴ ἕστηκεν, ὁ δὲ μερισμὸς περὶ αὐτὴν καὶ ἡ σύνθεσις, καὶ τὸ νῦν δὲ αὐτὸ ἕστηκεν, ὁ δὲ παρεληλυθὼς καὶ ὁ μέλλων ἐπ᾽ ἄπειρον.

κβ'. [Περὶ στερεᾶς γωνίας.]

Στερεὰ γωνία κοινῶς μέν ἐστιν ἐπιφανείας ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἐχούσης πρὸς ἑνὶ σημείῳ συναγωγή. καὶ ἄλλως δέ· στερεὰ γωνία ἐστὶν ἡ ὑπὸ τριῶν ἢ πλειόνων γωνιῶν περιεχομένη [ἢ] συναγωγὴ στερεοῦ πρὸς ἑνὶ σημείῳ ὑπὸ κεκλασμένῃ ἐπιφανείᾳ. κεκλασμένη δέ ἐστιν ἐπιφάνεια πρὸς γραμμήν, ἥτις ἐκβαλλομένη οὐ συμπίπτει αὐτὴ καθ᾽ ἑαυτῆς· νοεῖται δὲ ἐκβαλλομένη, ὅταν [μὴ] φαίνηται μὴ ἐκβαίνουσα ὅλον αὐτῆς τὸ μῆκος· ὁμοίως καὶ ἐπίπεδον ἐκβαλλόμενον νοεῖται.

---

1 ἕως ἂν Hultsch. συνιζήσωσιν] F, συνιξίσωσιν C. αἱ] Dasypodius, καί CF. εὐθεῖαι] ἡ εὐθεῖα F. 2 ἀφικöνται F. 4 μείζων] Dasypodius, ἡ μείζων CF. ὑπτιάσαντα F, corr. mg. 9 μονὰς] ἡ μονάς Dasypodius. 10 γωνία] F, γωνεία C. 13 αὐτὸ] Dasypodius, αὐτή C, αὐτῆς F. 18 τριῶν ἢ πλείονων]

einander erreichen, wenn aber eine Gerade auf einer Geraden aufgerichtet wird und von dem rechten Winkel aus sich rückwärts neigt, so wird der stumpfe Winkel immer größer, bis die Senkrechte rückwärts geneigt mit der gegebenen auf einer Geraden und kontinuierlich zu liegen kommt.

21. [Der rechte Winkel und das Nu und die Einheit verhalten sich ähnlich.]

Der rechte Winkel und das Nu und die Einheit verhalten sich ähnlich; denn der rechte Winkel bleibt immer stehen, indem er derselbe bleibt, während der spitze und der stumpfe sich unbegrenzt ändern, und ebenfalls bleibt die Einheit selbst stehen, während Teilung und Summierung um sie her vorgehen, und auch das Nu bleibt selbst stehen, während die vergangene und die kommende Zeit ins unendliche gehen.

22. [Vom soliden Winkel.]

Ein solider Winkel ist allgemein die Zusammenziehung einer Fläche, welche die Krümmung nach derselben Seite hat, an einem Punkt. Und auf andere Weise: ein solider Winkel ist die von drei oder mehr Winkeln gebildete Zusammenziehung eines Körpers an einem Punkt unter einer gebrochenen Fläche. Gebrochen aber an einer Linie ist eine Fläche, deren Verlängerung nicht mit ihr selbst zusammenfällt; verlängert aber wird eine Fläche gedacht, wenn sie offenbar ihre ganze Ausdehnung nicht überschreitet; ebenso wird auch eine Ebene verlängert gedacht.

Hultsch, *πλειόνων ἢ τριῶν* CF, *πλειόνων ἢ δύο* Eucl. IV p. 4, 13. 19 *ἢ*] deleo. 20 *πρὸς ἑνὶ σημείῳ*] Schmidt, *ὑπὸ ἑνὸς σημείου* CF. *ὑπὸ κεκλασμένῃ ἐπιφανείᾳ*] addidi praeeunte Schmidtio, cfr. Proclus in Eucl. p. 123, 15 sq.; om. CF. 21 *δέ ἐστιν*] addidi, om. CF. 22 *οὐ—23 ἐκβαλλομένη*] om. F. 22 *συμπίπτει*] *πίπτει* Schmidt, cfr. p. 24, 1. *αὐτὴ*] Dasypodius, *αὐτῇ* C. 23 *μὴ* (pr.)] del. Mayring.

Ἰδίως δὲ εὐθύγραμμοι στερεαὶ γωνίαι καλοῦνται, ὧν αἱ ἐπιφάνειαι αἱ ποιοῦσαι τὰς γωνίας ὑπὸ ἐπιπέδων εὐθυγράμμων περιέχονται, ὡς αἱ τῶν πυραμίδων καὶ αἱ τῶν στερεῶν πολυέδρων καὶ αἱ τοῦ κύβου, οὐκ εὐθύγραμμοι δὲ αἱ μὴ οὕτως ἔχουσαι, ὡς αἱ τῶν κώνων.

κγ΄. [Περὶ σχήματος.]

Σχῆμά ἐστι τὸ ὑπό τινος ἤ τινων ὅρων περιεχόμενον ἢ τὸ πέρατι ἢ πέρασι συγκλειόμενον. τουτὶ μὲν οὖν τὸ ἐσχηματισμένον· λέγεται δὲ ἄλλως σχῆμα πέρας συγκλεῖον ἀπὸ τοῦ συσχηματίζοντος. εἴρηται δὲ τὸ σχῆμα παρὰ τὸ σῆμα, ὅ ἐστι συγκλειόμενον ἢ συγκλεῖον. διαφέρει δὲ τὸ περιέχον πέρατος· πέρας μὲν γὰρ καὶ τὸ σημεῖον, οὔπω δὲ σχήματος ποιητικόν.

κδ΄. [Τίνες οἱ τῶν σχημάτων ὅροι;]

Ὅροι δὲ σχημάτων εἰσὶν αἵ τε ἐπιφάνειαι καὶ γραμμαί. κέκληνται δὲ ὅροι παρὰ τὸ ὁρίζειν, μέχρι ποῦ τὸ σχῆμά ἐστι, τουτέστι τὰ τέλη τῶν σχημάτων καὶ τὰ πέρατα δείκνυται.

κε΄. [Τίνες αἱ γενικαὶ τῶν σχημάτων διαφοραί;]

Τῶν δὲ σχημάτων ἃ μέν ἐστιν ἐπίπεδα, ἃ δὲ στερεά. ἐπίπεδα μὲν οὖν ἐστι τὰ ἐν τῷ αὐτῷ ἐπιπέδῳ πάσας ἔχοντα τὰς γραμμάς, στερεὰ δὲ τὰ μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ πάσας ἔχοντα τὰς γραμμάς.

κϛ΄. [Τίνες αἱ τῶν ἐπιπέδων σχημάτων διαφοραί;]

Τῶν ἐν ταῖς ἐπιφανείαις σχημάτων ἃ μέν εἰσιν

---

1 *εὐθύγραμμον* F. 2 *αἱ* (pr.)] om. F. 3 *ὡς αἱ*] *ὡς καί* F. 5 *αἱ* (alt.)] *ἐπί* F. 9 *πέρασι*] F, *πέρα*̈ C. 10 *ἐσχηματισμένον*]

Speziell aber werden gradlinige solide Winkel solche genannt, bei denen die Flächen, welche die Winkel bilden, von gradlinigen Ebenen hergestellt werden, wie die der Pyramiden, die der soliden Polyeder und die des Würfels, nicht gradlinig aber solche, die sich nicht so verhalten, wie die der Kegel.

23. [Von der Figur.]

Figur ist, was von einer oder mehreren Grenzen umschlossen wird, oder was ein Äußerstes oder mehrere einschließen. Dies ist nun das als Figur gebildete; auf andere Weise aber wird Figur genannt das einschließende Äußerste als figurenbildend. Das Wort Figur (Schema) aber ist von der Gemarkung (Sema) hergeleitet, d. h. das eingeschlossene oder einschließende. Umschließung aber und Äußerstes sind nicht synonym; ein Äußerstes nämlich ist auch der Punkt, aber noch nicht fähig eine Figur zu bilden.

24. [Welche sind die Grenzen der Figuren?]

Grenzen aber der Figuren sind die Flächen und Linien. Sie werden Grenzen genannt, weil sie bestimmen (begrenzen), bis wohin die Figur reicht, d. h. wo das Ende und das Äußerste der Figuren aufgezeigt wird.

25. [Welche sind die allgemeinen Arten der Figuren?]

Die Figuren aber sind teils ebene, teils solide. Ebene sind nun solche, die sämtliche Linien in derselben Ebene haben, solide aber solche, die nicht sämtliche Linien in derselben Ebene haben.

26. [Welche sind die Arten der ebenen Figuren?]

Die Figuren in einer Fläche sind teils einfach, teils zu-

Schmidt, cfr. Proclus in Eucl. p. 143, 6; *εὐσχηματισμένον* CF. 12 *συγκλεῖον*] F, *συγκλείων* C. 13 *περιέχον*] F, *περιέχων* C. 15 *οἱ*] Hultsch, *αἱ* CF. 20 hinc inc. V fol. 1r (numeros om.). 23 *ἓν*] V, *ἓν* C, *ἑνός* F. 24 *αὐτῷ*] bis F. 25 *αἱ*] suprascr. V.

ἀσύνθετα, ἃ δὲ σύνθετα. ἀσύνθετα μὲν οὖν ἐστι τὰ μὴ συγκείμενα ἐκ γραμμῶν, σύνθετα δὲ τὰ ἐκ γραμμῶν συγκείμενα. τῶν δὲ συνθέτων σχημάτων τῶν ἐν ταῖς ἐπιφανείαις ἃ μέν ἐστιν ἐξ ὁμογενῶν σύνθετα, ἃ δὲ ἐξ ἀνομογενῶν, οἷον οἱ λεγόμενοι τομεῖς τῶν κύκλων καὶ τὰ ἡμικύκλια καὶ αἱ ἁψῖδες καὶ τὰ μείζονα τμήματα τῶν κύκλων. λέγοιντο δ' ἂν ἐξ ὁμογενῶν σύνθετα οἱ μηνίσκοι καὶ αἱ στεφάναι καὶ τὰ παραπλήσια.

κζ'. [Περὶ ἀσυνθέτου ἐπιπέδου σχήματος, ὅ ἐστι κύκλος.]

Κύκλος ἐστὶ τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον ἐπίπεδον. τὸ μὲν οὖν σχῆμα καλεῖται κύκλος, ἡ δὲ περιέχουσα γραμμὴ αὐτὸ περιφέρεια, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. ἐὰν μὲν οὖν ἐν τῷ αὐτῷ ἐπιπέδῳ τὸ σημεῖον ᾖ, κέντρον καλεῖται, ἐὰν δὲ μὴ ᾖ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, πόλος, ὡς ἔχει ἐπὶ τῶν ἐν ταῖς σφαίραις κύκλων. λέγεται δὲ καὶ ἄλλως κύκλος γραμμή, ἥτις πρὸς πάντα τὰ μέρη [πάντα] ἴσα ποιεῖ τὰ διαστήματα. γίνεται δὲ κύκλος, ἐπὰν εὐθεῖα ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὑπάρχουσα μένοντος τοῦ ἑνὸς πέρατος τῷ ἑτέρῳ περιενεχθεῖσα εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι.

κη'. [Περὶ διαμέτρου.]

Διάμετρος δὲ τοῦ κύκλου ἐστὶν εὐθεῖά τις διὰ τοῦ κέντρου ἠγμένη καὶ περατουμένη ἐφ' ἑκάτερα τὰ μέρη,

---

3 *τῶν* (pr.)] *ὧν* V. 4 *σύνθετα—5 ἀνομογενῶν*] om. V. 6 *αἱ*] om. F. 7 *ἐξ ὁμογενῶν σύνθετα*] om. CVF, add. Hasenbalg (post *παραπλήσια* l. 8), cfr. Proclus in Eucl. p. 163, 5 sqq. 8 *οἱ*] *καὶ οἱ* corr. ex *οἱ* V². *μηνίσκοι*] VF, *μικίσκοι* C. *αἱ στεφάναι*] VF, *ἐστεφάναι* C. 12 *αὐτὸ γραμμή* V. 14 *εἴσαι* C.

sammengesetzt. Einfach sind nun solche, die nicht aus mehreren Linien zusammengefügt sind, zusammengesetzt aber solche, die aus mehreren Linien zusammengefügt sind. Die zusammengesetzten Figuren in einer Fläche sind teils aus gleichartigen Linien zusammengesetzt, teils aus ungleichartigen, wie die sogenannten Ausschnitte aus dem Kreis, die Halbkreise, die Apsiden und die größeren Kreisabschnitte. Als aus gleichartigen Linien zusammengesetzt können dagegen genannt werden die Möndchen, die Kränze und dergleichen.

27. [Von der nicht zusammengesetzten ebenen Figur, d. h. vom Kreise.]

Ein Kreis ist die von einer Linie umschlossene Ebene. Die Figur wird also Kreis genannt, die sie umschließende Linie aber Umkreis, und alle Geraden, die zu diesem reichen von einem der innerhalb der Figur gelegenen Punkte aus, sind unter sich gleich. Wenn nun dieser Punkt in derselben Ebene liegt, wird er Mittelpunkt genannt, wenn er aber nicht in derselben Ebene liegt, Pol, wie es sich bei den Kreisen auf Kugeln verhält. Aber auch auf andere Weise wird Kreis genannt eine Linie, die nach allen Teilen gleiche Entfernungen bildet. Ein Kreis entsteht, wenn eine Gerade, indem sie in derselben Ebene bleibt, während der eine Endpunkt fest liegt, mit dem anderen herumgeführt wird, bis sie wieder in dieselbe Lage zurückgebracht ist, von wo sie sich zu bewegen anfing.

28. [Vom Durchmesser.]

Durchmesser aber des Kreises ist eine Gerade, die durch den Mittelpunkt gezogen ist und auf beiden Seiten (durch

---

ἀλλήλοις C. 15 *ᾗ*] V, mg. F, *ἣ* CF. 16 *ᾗ ἐν*] *εἶεν* F. 18 *κύκλος*] *κύκλος ἐστί* F. *πρὸς*] Dasypodius, om. CVF. *πάντα*] del. Dasypodius, *πρὸς πάντα* CVF. 19 *ἴσα*] om. F. 20 *εὐθεῖα*] *εὐθεῖα γραμμή* F. 21 *ἑνὸς*] VF, *ἐντός* C. 25 *τὰ*] V, om. CF. Post *μέρη* add. *ὑπὸ τῆς τοῦ κύκλου περιφερείας* Dasypodius, cfr. Eucl. I def. 17.

ἥτις καὶ δίχα τέμνει τὸν κύκλον, ἡ εὐθεῖα διὰ τοῦ κέντρου ἕως τῆς περιφερείας διηγμένη.

κθ΄. [Περὶ τῶν ἐν τοῖς ἐπιπέδοις ἐξ ἀνομογενῶν συνθέτων περιφερειῶν σχημάτων, οἷον τί ἐστιν ἡμικύκλιον;]

Ἡμικύκλιόν ἐστιν τὸ περιεχόμενον σχῆμα ὑπό τε τῆς διαμέτρου καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῆς περιφερείας, ἢ τὸ ὑπὸ διαμέτρου κύκλου καὶ περιφερείας περιεχόμενον σχῆμα.

λ΄. [Τί ἐστιν ἁψίς;]

Ἁψὶς δέ ἐστιν τὸ ἔλαττον ἡμικυκλίου περιεχόμενον ὑπὸ εὐθείας ἐλάττονος τῆς διαμέτρου καὶ περιφερείας ἐλάττονος ἡμικυκλίου.

λα΄. [Τί ἐστιν τμῆμα κύκλου τὸ μεῖζον;]

Τμῆμα δὲ κύκλου τὸ μεῖζόν ἐστιν, ὃ περιέχεται ὑπὸ εὐθείας ἐλάττονος τῆς διαμέτρου καὶ περιφερείας μείζονος ἡμικυκλίου.

λβ΄. [Τί ἐστι κοινῶς τμῆμα κύκλου;]

Κοινῶς δὲ τμῆμα κύκλου ἐστίν, ἄν τε μεῖζον ἄν τε ἔλαττον ἡμικυκλίου, τὸ περιεχόμενον σχῆμα ὑπὸ εὐθείας καὶ κύκλου περιφερείας.

λγ΄. [Τίς ἡ ἐν τμήματι κύκλου γωνία;]

Ἐν τμήματι κύκλου γωνία ἐστίν, ὅταν ἐπὶ τῆς περιφερείας τοῦ τμήματος ληφθῇ τι σημεῖον, ἀπὸ δὲ

---

1 καί] V, cfr. Eucl. I p. 4, 17; om. CF. ἣ] Dasypodius, ἡ CF, om. V. διὰ τοῦ κέντρου] δ' αὐτοῦ V. 3 ἀνομοιογενῶν F. 4 οἷον] V, ἤγουν CF. 5 ἐστι VF. τε] om. V.

den Kreis) begrenzt wird, welche auch den Kreis in zwei gleiche Teile zerschneidet, oder eine Gerade durch den Mittelpunkt bis zum Umkreis gezogen.

29. [Von den Figuren in der Ebene, welche aus ungleichartigen Peripherien zusammengesetzt sind, und zwar: was ist ein Halbkreis?]

Ein Halbkreis ist die Figur, die umschlossen wird vom Durchmesser und dem durch ihn abgetrennten Kreisbogen, oder die vom Durchmesser eines Kreises und ihrem Kreisbogen umschlossene Figur.

30. [Was ist eine Apsis?]

Eine Apsis aber ist, was kleiner ist als ein Halbkreis umschlossen von einer Geraden, die kleiner ist als der Durchmesser, und einem Kreisbogen, der kleiner ist als ein Halbkreis.

31. [Was ist ein größerer Kreisabschnitt?]

Ein größerer Kreisabschnitt aber ist ein solcher, der umschlossen wird von einer Geraden, die kleiner ist als der Durchmesser, und einem Kreisbogen, der größer ist als ein Halbkreis.

32. [Was ist allgemein ein Kreisabschnitt?]

Ein Kreisabschnitt aber allgemein, ob größer oder kleiner als ein Halbkreis, ist die von einer Geraden und einem Kreisbogen umschlossene Figur.

33. [Was ist der Winkel in einem Kreisabschnitt?]

Ein Winkel in einem Kreisabschnitt ist, wenn auf dem Bogen des Abschnitts ein Punkt genommen wird, und vom

---

6 *καὶ τῆς*] *καί* V. 7 *ἢ—περιφερείας*] om. F. 8 *περιεχόμενον*] *τὸ περιεχόμενον* CF, *συνεχόμενον* V. 10 *ἐστι* VF. *ἡμικύκλιον* C. 11 *καὶ*] *ἢ* V. 12 *ἐλάττονος—15 περιφερείας*] V, om. CF. 17 *λβ'*] sic C. 18 *δὲ*] V, om. CF. 21 *Τίς*] V, cfr. p. 4, 17; om. CF. 22 *Ἐν*] *ἢ ἐν* V.

τοῦ σημείου ἐπὶ τὰ πέρατα τῆς εὐθείας ἐπιζευχθῶσιν εὐθεῖαι, ἡ περιεχομένη γωνία ἐν τῷ σχήματι.

λδ'. [Τί ἐστιν τομεὺς κύκλου;]

Τομεὺς δὲ κύκλου ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπὸ δύο μὲν εὐθειῶν, μιᾶς δὲ περιφερείας, ἢ τὸ περιεχόμενον σχῆμα ὑπὸ τῶν τὴν τυχοῦσαν ἐν κύκλῳ γωνίαν περιεχουσῶν εὐθειῶν καὶ τῆς ἀπολαμβανομένης ὑπ' αὐτῶν περιφερείας.

λε'. [Περὶ τῶν ἐκ δύο περιφερειῶν ἐπιπέδων σχημάτων καὶ λοιπῶν, τουτέστι περὶ κυρτῆς καὶ κοίλης περιφερείας.]

Πᾶσα περιφέρεια κατὰ μὲν τὴν πρὸς τὸ περιεχόμενον χωρίον νόησιν κοίλη καλεῖται, κατὰ δὲ τὴν πρὸς τὸ περιέχον κυρτή.

λϛ'. [Τί ἐστι μηνίσκος;]

Μηνίσκος τοίνυν ἐστὶ τὸ περιεχόμενον σχῆμα ὑπὸ δύο περιφερειῶν κοίλης καὶ κυρτῆς, ἢ δύο κύκλων οὐ περὶ τὸ αὐτὸ κέντρον ὑπεροχή, ἢ τὸ περιεχόμενον ὑπὸ δύο περιφερειῶν ἐπὶ τὰ αὐτὰ μέρη τὰ κοῖλα ἐχουσῶν.

λζ'. [Τί ἐστι στεφάνη;]

Στεφάνη δέ ἐστιν τὸ περιεχόμενον σχῆμα ὑπὸ [τῶν] δύο κυρτῶν περιφερειῶν, ἢ δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὑπεροχή.

---

1 *εὐθείας*] *γραμμῆς* V. 2 *σχήματι*] *τμήματι* V. Deinde add. *ἐστι τμήματος κύκλου γωνία* V, *ἐστι τμήματος κυκλογώνου* CF, del. Friedlein. 3 *ἐστιν*] V, *ἐστι* CF. 6 *τυχοῦσαν*] Dasypodius, *οὖσαν* V, *οὐσίαν* CF. *περιεχοσῶν γωνίαν* F. 8 des. V. 9 *ἐκ*] F, *ἐν* C. *ἐπιπέδων σχημάτων*] *τμημάτων* F. 10 *περὶ*

Punkte nach den Endpunkten der Geraden gerade Linien gezogen werden, der in der Figur umschlossene Winkel.

34. [Was ist ein Kreisausschnitt?]

Ein Kreisausschnitt aber ist die von zwei Geraden und einem Bogen umschlossene Figur, oder die Figur, die umschlossen wird von den einen beliebigen Winkel im Kreise umschließenden Geraden und dem von ihnen abgetrennten Kreisbogen.

35. [Von den aus zwei Kreisbögen zusammengesetzten ebenen Figuren usw., d. h. von dem konvexen und konkaven Bogen.]

Jeder Bogen wird konkav genannt, wenn man ihn im Verhältnis zu dem umschlossenen Raum denkt, konvex aber, wenn zu dem umschließenden.

36. [Was ist ein Möndchen?]

Ein Möndchen nun ist eine von zwei Kreisbögen, einer konkaven und einer konvexen, umschlossene Figur, oder die Differenz zweier Kreise, die nicht denselben Mittelpunkt haben, oder die von zwei Kreisbögen umschlossene Figur, welche die Krümmung nach derselben Seite hin haben.

37. [Was ist ein Kranz?]

Ein Kranz aber ist die von den Peripherien zweier Kreise umschlossene Figur, oder die Differenz zweier Kreise um denselben Mittelpunkt.

κυρτῆς] *τῆς* F. *καὶ κοίλης*] Hultsch, cfr. p. 4, 20; *κοίλης καί* CF. 13 *νόησιν*] *εἰσι* F, mg. *ἴσιν*. 17 *κοίλης καὶ κυρτῆς*] huc transposui; hic om. CF, u. ad lin. 18; cfr. Proclus in Eucl. p. 127, 10. *κύκλων*] Dasypodius, *ὅλων* CF. *οὐ*] scripsi, *μή* Dasypodius, om. CF. 18 *κέντρον ὄντων* Dasypodius. *ὑπεροχὴ*] *ὑπεροχὴ κοίλης καὶ κυρτῆς* CF. 19 *ἔχουσιν̈* F. 21 *ἐστι* F. *τῶν*] deleo, *ὅλων* Friedlein; fort. scribendum *ὑπὸ τῶν δύο κύκλων περιφερειῶν* cum Hasenbalgio. 22 *κύκλων*] Dasypodius, *ὅλων* CF.

λη'. [Τί ἐστι πέλεκυς;]

Πέλεκυς δέ ἐστι τὸ περιεχόμενον ὑπὸ $\bar{δ}$ περιφερειῶν, δύο κοίλων καὶ δύο κυρτῶν.

Καθόλου δὲ εἰπεῖν ἀπερίληπτόν ἐστι τὸ πλῆθος τῶν ἐν τοῖς ἐπιπέδοις ἐκ περιφερειῶν σχημάτων, ἔτι δὲ μᾶλλον τῶν ἐν ταῖς ἐπιφανείαις.

λθ'. [Τίνες αἱ τῶν ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων σχημάτων διαφοραί;]

Τῶν ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων σχημάτων ἃ μέν εἰσι τρίγωνα ἢ τρίπλευρα, ἃ δὲ τετράγωνα ἢ τετράπλευρα, ἃ δὲ ἐπ' ἄπειρον πολύγωνα ἢ πολύπλευρα.

μ'. [Τί ἐστι τρίγωνον;]

Τρίγωνόν ἐστι σχῆμα ἐπίπεδον ὑπὸ τριῶν εὐθειῶν περιεχόμενον τρεῖς ἔχον γωνίας.

μα'. [Τίνα τῶν τριγώνων εἴδη καὶ πόσα;]

Τῶν δὲ τριγώνων ἢ τριπλεύρων σχημάτων τὰ γενικώτατα εἴδη εἰσὶν ἕξ· ἀπὸ μὲν γὰρ τῶν πλευρῶν ἃ μὲν καλοῦνται ἰσόπλευρα, ἃ δὲ ἰσοσκελῆ, ἃ δὲ σκαληνά· ἀπὸ δὲ τῶν γωνιῶν ἃ μέν εἰσιν ὀρθογώνια, ἃ δὲ ὀξυγώνια, ἃ δὲ ἀμβλυγώνια. ἐπὶ μὲν οὖν τῶν ὀρθογωνίων δύο γένη, τό τε ἰσοσκελὲς καὶ τὸ σκαληνὸν ἐπ' ἄπειρον προϊόν· οὐδὲν γὰρ ὀρθογώνιον ἰσόπλευρον· τὰ δὲ ἄλλα τρίγωνα τὰ μὴ ὀρθογώνια πλὴν τοῦ ἰσοπλεύρου οὐ δύο μόνον ἔχει φύσεις, ἀλλὰ καὶ ἐπ' ἄπειρον χωρεῖ.

---

5 ἐκ περιφερειῶν] Hultsch, περιφερειῶν CF, περιφερῶν Dasypodius. 7 rursus inc. V. αἱ] V, mg. F, ἐκ CF. ἐν τοῖς]

38. [Was ist ein Doppelbeil?]

Ein Doppelbeil aber ist die von 4 Kreisbögen, zwei konkaven und zwei konvexen, umschlossene Figur.

Überhaupt aber ist die Zahl der aus Kreisbögen gebildeten Figuren in der Ebene unbestimmbar, und noch mehr der in den Flächen.

39. [Welche sind die Arten der gradlinigen Figuren in der Ebene?]

Die gradlinigen Figuren in der Ebene sind teils Dreiecke oder dreiseitige, teils Vierecke oder vierseitige, teils ins unbegrenzte Vielecke oder vielseitige.

40. [Was ist ein Dreieck?]

Ein Dreieck ist eine ebene von drei Geraden umschlossene Figur mit drei Winkeln.

41. [Welche sind die Arten der Dreiecke und wieviele?]

Von den Dreiecken aber oder dreiseitigen Figuren gibt es sechs Hauptarten; nach den Seiten nämlich werden sie teils gleichseitig, teils gleichschenklig, teils ungleichseitig genannt; nach den Winkeln aber sind sie teils rechtwinklig, teils spitzwinklig, teils stumpfwinklig. Bei den rechtwinkligen gibt es nun nur zwei Arten, gleichschenklige und die ins unbegrenzte gehenden ungleichseitigen; denn ein gleichseitiges rechtwinkliges gibt es nicht; die anderen, nicht rechtwinkligen Dreiecke aber, das gleichseitige ausgenommen, haben nicht zwei Arten allein, sondern gehen ins unbegrenzte.

---

om. V. 10 ἃ δὲ—τετράπλευρα] om. V. 14 ἔχων C. 15 τῶν] om. V. 20 οὖν] V, om. CF. 21 τὸ σκαληνὸν—22 ὀρθογώνιον] om. V. 22 οὐδὲν] Hasenbalg, οὐδὲ CF. ὀρθογωνίου ἰσοπλεύρου F. 23 μὴ] μέν V. 24 οὐ] om. V.

μβ'. [Τί τὸ ἰσόπλευρον;]

Ἰσόπλευρον μὲν οὖν ἐστιν, ὅταν τρεῖς ἴσας ἔχῃ πλευρὰς ἢ γωνίας.

μγ'. [Τί τὸ ἰσοσκελές;]

Ἰσοσκελὲς δέ, ὅταν τὰς δύο μόνας ἴσας ἔχῃ πλευράς.

μδ'. [Τί τὸ σκαληνόν;]

Σκαληνὰ δέ, ὅσα τὰς τρεῖς ἀνίσους ἔχει πλευράς.

με'. [Τί τὸ ὀρθογώνιον;]

Ὀρθογώνιον δέ ἐστι τὸ μίαν ἔχον ὀρθὴν γωνίαν.

μϛ'. [Τί τὸ ὀξυγώνιον;]

Ὀξυγώνιον δὲ τὸ τὰς τρεῖς ὀξείας ἔχον γωνίας.

μζ'. [Τί τὸ ἀμβλυγώνιον;]

Ἀμβλυγώνιον δὲ τὸ μίαν ἔχον ἀμβλεῖαν γωνίαν.

μη'. [Τριγώνων ἰδιότητες.]

Τὰ μὲν οὖν ἰσόπλευρα πάντα ὀξυγώνιά ἐστι, τῶν δὲ ἰσοσκελῶν καὶ σκαληνῶν ἃ μέν εἰσιν ὀρθογώνια, ἃ δὲ ὀξυγώνια, ἃ δὲ ἀμβλυγώνια.

μθ'. [Περὶ τετραπλεύρων σχημάτων.
Τί ἐστιν τετράπλευρον ἐπίπεδον;]

Τετράπλευρον ἐπίπεδόν ἐστι σχῆμα τὸ ὑπὸ τεσσάρων εὐθειῶν περιεχόμενον τέσσαρας ἔχον γωνίας.

ν'. [Τίνες αἱ τῶν τετραπλεύρων διαφοραί;]

Τῶν τετραπλεύρων σχημάτων ἃ μέν εἰσιν ἰσό-

---

2 ἔχῃ] V, ἔχει CF. 5 ἰσοσκελῆ δὲ ὅσα V. μόνον V

42. [Was ist ein gleichseitiges Dreieck?]

Gleichseitig ist nun ein Dreieck, wenn es drei gleiche Seiten oder Winkel hat.

43. [Was ein gleichschenkliges?]

Gleichschenklig aber, wenn es nur die zwei Seiten gleich hat.

44. [Was ein ungleichseitiges?]

Ungleichseitig aber solche, die alle drei Seiten ungleich haben.

45. [Was ein rechtwinkliges?]

Rechtwinklig aber ist ein solches, das einen rechten Winkel hat.

46. [Was ein spitzwinkliges?]

Spitzwinklig aber ein solches, das drei spitze Winkel hat.

47. [Was ein stumpfwinkliges?]

Stumpfwinklig aber ein solches, das einen stumpfen Winkel hat.

48. [Eigentümlichkeiten der Dreiecke.]

Die gleichseitigen sind nun sämtlich spitzwinklig, von den gleichschenkligen und ungleichseitigen dagegen sind einige rechtwinklig, einige spitzwinklig, einige stumpfwinklig.

49. [Von den vierseitigen Figuren.
Was ist ein ebenes Viereck?]

Ein ebenes Viereck ist eine von vier Geraden umschlossene Figur, die vier Winkel hat.

50. [Welche sind die Arten der Vierecke?]

Von den Vierecken sind einige gleichseitig, einige nicht;

ἴσας] V, ὅσας CF. ἔχῃ] Hasenbalg, ἔχει CVF. 11 γωνίας] V, om. CF. 17 ἃ δὲ ὀξυγώνια] om. F. 19 ἐστιν] V, ἐστι CF. 21 τέσσαρας] δ′ C. ἔχων C.

πλευρα, ἃ δὲ οὔ· τῶν δὲ ἰσοπλεύρων ἃ μὲν ὀρθογώνια, ἃ δὲ οὔ.

να'. [Τίνα τετράγωνα;]

Τὰ μὲν οὖν ὀρθογώνια ἰσόπλευρα τετράγωνα καλεῖται.

νβ'.]Τίνα τὰ ἑτερομήκη;]

Τὰ δὲ ὀρθογώνια μέν, μὴ ἰσόπλευρα δέ, ἑτερομήκη καλεῖται.

νγ'. [Τί ῥόμβοι;]

Τὰ δὲ ἰσόπλευρα μέν, μὴ ὀρθογώνια δέ, ῥόμβοι.

νδ'. [Τί ῥομβοειδῆ;]

Τὰ δὲ μήτε ἰσόπλευρα μήτε ὀρθογώνια, τὰς δὲ ἀπεναντίας πλευράς τε καὶ γωνίας ἴσας ἀλλήλαις ἔχοντα, ῥομβοειδῆ καλεῖται.

νε'. [Τίνα παραλληλόγραμμα;]

Ἔτι δὲ τῶν τετραπλεύρων ἃ μὲν καλεῖται παραλληλόγραμμα, ἃ δὲ οὐ παραλληλόγραμμα· παραλληλόγραμμα μὲν οὖν τὰ τὰς ἀπεναντίον πλευρὰς παραλλήλους ἔχοντα, οὐ παραλληλόγραμμα δὲ τὰ μὴ οὕτως ἔχοντα.

νς'. [Περὶ παραλληλογράμμων ὀρθογωνίων.]

Τῶν δὲ παραλληλογράμμων ὅσα μὲν ὀρθογώνιά ἐστιν, περιέχεσθαι λέγεται ὑπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν εὐθειῶν· ἔστι γὰρ μέγιστον τῶν ὑπὸ ἴσων πλευρῶν περιεχομένων παραλληλογράμμων τὸ ἐν ὀρθῇ

---

3 *τετραγώνια* V. 4 *ἰσόπλευρα τετράγωνα*] *καὶ ἰσόπλευρα τετράπλευρα* V. 11 *Τί ῥομβοειδῆ;*] B, om. CVF. 12 *Τὰ δὲ*—14 *καλεῖται*] om. V. 13 *ἀλλήλαις*] Dasypodius, *ἀλλήλας*

von den gleichseitigen aber sind einige rechtwinklig, andere nicht.

51. [Was sind Quadrate?]

Die rechtwinkligen gleichseitigen nun werden Quadrate genannt.

52. [Was Rechtecke?]

Die rechtwinkligen aber nicht gleichseitigen werden dagegen Rechtecke genannt.

53. [Was Rhomben?]

Und die gleichseitigen aber nicht rechtwinkligen Rhomben.

54. [Was Rhomboide?]

Solche aber, die weder gleichseitig noch rechtwinklig sind, aber die gegenüberstehenden Seiten und Winkel unter sich gleich haben, werden Rhomboide genannt.

55. [Was Parallelogramme?]

Ferner werden von den Vierecken einige Parallelogramme genannt, einige nicht Parallelogramme; Parallelogramme sind solche, die die gegenüberstehenden Seiten parallel haben, nicht Parallelogramme solche, die sich nicht so verhalten.

56. [Von den rechtwinkligen Parallelogrammen.]

Von den rechtwinkligen unter den Parallelogrammen sagt man, daß sie umschlossen werden von den den rechten rechten Winkel umschließenden Geraden; denn unter den von gleichen Seiten umschlossenen Parallelogrammen ist

---

CF. *ἔχοντα*] *ἔχοντα τῷ* C, *τῷ* del.; *ἔχοντας τῷ* F. 14 *ῥομβοειδεῖ* F. 15 *Τίνα*] V, *τίνα τὰ* CF. 16 *Ἔτι*] *ἐπὶ* V. 18 *ἀπεναντίων* V. 22 *ὅσα μὲν ὀρθογώνια*] V, *ὀρθογωνίων ὅσα* CF, *ὀρθογώνια ὅσα* Dasypodius. 23 *ἐστιν*] V, *ἐστι* CF. 24 *ἴσων*] V, *τῶν ἴσων* CF. 25 *περιεχόμενον* V.

γωνίᾳ. ἐπ' ἄπειρον γὰρ ἐπινοεῖται παραλληλόγραμμα [δὲ ὅσα] ὑπ' ἴσων περιεχόμενα πλευρῶν διάφορα κατὰ τὸ ἐμβαδὸν τυγχάνοντα· ὧν τὰ μὲν ὀξείας γωνίας ἔχοντα ἐλάττονα γίνεται, τὸ δὲ ἔχον τὴν ὀρθὴν μέγιστον. ἐπεὶ οὖν ἐλάττους ἀεὶ αἱ ὀξεῖαι εὑρίσκονται, οἱ βουλόμενοι ἀναμετρεῖν τὰ τοιαῦτα σχήματα ὅρον καὶ ὑπόστασιν ἔθεντο τὸν περὶ τὴν ὀρθὴν γωνίαν λόγον.

νζ'. [Τίς ὁ ἐν παραλληλογράμμῳ γνώμων;]

Παντὸς δὲ παραλληλογράμμου τῶν περὶ τὴν διάμετρον αὐτῷ παραλληλογράμμων ἓν ὁποιονοῦν σὺν τοῖς δυσὶ παραπληρώμασι γνώμων καλεῖται.

νη'. [Τί ἐστι γνώμων κοινῶς;]

Καθόλου δὲ γνώμων ἐστὶν πᾶν, ὃ προσλαβὸν ὁτιοῦν, ἀριθμὸς ἢ σχῆμα, ποιεῖ τὸ ὅλον ὅμοιον, ᾧ προσείληφεν.

νθ'. [Τί ἐστι τραπέζιον;]

Τῶν παρὰ τὰ εἰρημένα τετραπλεύρων ἃ μὲν τραπέζια λέγεται, ἃ δὲ τραπεζοειδῆ.

ξ'. [Τίνα τὰ τραπέζια;]

Τραπέζια μὲν οὖν εἰσιν, ὅσα μόνον δύο παραλλήλους ἔχει πλευράς.

ξα'. [Τίνα τὰ τραπεζοειδῆ;]

Τραπεζοειδῆ δέ, ὅσα μὴ ἔχει παραλλήλους πλευράς.

---

1 *ἐπ'*] add. Hultsch, om. CFV. 2 *δὲ ὅσα*] deleo, *δέ* del. Mayring. *ὑπ' ἴσων*] Friedlein, *ὑπὸ τῶν* CFV, *ὑπὸ τῶν ἴσων* Hasenbalg. *περιεχόμενα*] Hasenbalg, *περιεχομένων* CFV. 3 *ὧν—4 ἔχοντα*] addidi, om. CFV. 7 *τὸν*] fort. scr. *τὴν τῶν*. 8 *παραλληλογράμμων* C. 10 *αὐτῷ*] CV, *αὐτῶν* F, *αὐτοῦ* B cum Euclide II def. 2. 13 *προσλαβόν*] Hultsch,

das im rechten Winkel das größte. Man kann sich nämlich ins unendliche von gleichen Seiten umschlossene Parallelogramme vorstellen, deren Flächeninhalt verschieden ist, und unter ihnen sind diejenigen, die spitze Winkel haben, kleiner, dasjenige aber, das den rechten Winkel hat, das größte. Da nun die spitzen Winkel immer kleiner gefunden werden, haben diejenigen, die solche Figuren vermessen wollen, die auf den rechten Winkel bezügliche Bestimmung als Definition und Grundlage aufgestellt.

57. [Was ist der Gnomon in einem Parallelogramm?]

In jedem Parallelogramm wird ein beliebiges von den um seinen Durchmesser gelegenen Parallelogrammen nebst den beiden Füllstücken Gnomon genannt.

58. [Was ist allgemein Gnomon?]

Allgemein aber ist Gnomon alles, durch dessen Hinzunahme ein Beliebiges, es sei Zahl oder Figur, das ganze demjenigen ähnlich macht, das hinzugenommen hat.

59. [Was ist ein Trapez?]

Von den Vierecken, außer den genannten, werden einige Trapeze, einige Trapezoide genannt.

60. [Welche sind die Trapeze?]

Trapeze sind nun solche, die nur zwei parallele Seiten haben.

61. [Welche sind die Trapezoide?]

Trapezoide aber solche, die parallele Seiten nicht haben.

προσλαβ^ο^ων F, προσλαβών CV. ὁτοιοῦν F. 14 ἀριθμὸς] scripsi, ἀριθμόν CFV; ἀριθμὸν ἢ del. Hultsch. ἢ] om. V. ὧ] V, ὅ CF. 19 εἰσιν] F, εἰσι CV. μόνο^α^υς F. δύο μόνον V, fort. recte. 21 τὰ] om. V.

ξβ'. [Τί τραπέζιον ἰσοσκελές;]

Τῶν δὲ τραπεζίων ἃ μέν εἰσιν ἰσοσκελῆ, ἃ δὲ σκαληνά· ἰσοσκελῆ μὲν οὖν ἐστιν, ὅσα ἴσας ἔχει τὰς μὴ παραλλήλους.

ξγ'. [Τί τραπέζιον σκαληνόν;]

Σκαληνὰ δέ, ὅσα μὴ ἴσας ἔχει τὰς μὴ παραλλήλους.

ξδ'. [Τίνα ἄρα τὰ πολύπλευρα ἐπίπεδα;]

Πολύπλευρα ἐπίπεδα σχήματά εἰσι τὰ ὑπὸ πλεῖον τῶν τεσσάρων εὐθειῶν περιεχόμενα, οἷον πενταγώνια, ἑξαγώνια καὶ τὰ ἑξῆς πολύγωνα ἐπ' ἄπειρον προϊόντα.

ξε'. [Περὶ τῶν τῶν ἐν τοῖς ἐπιπέδοις εὐθυγράμμων καθ' ἕκαστα λεγομένων, οἱονεὶ τί ἐστι βάσις;]

Βάσις λέγεται ἐπιπέδου χωρίου γραμμὴ ἡ ὡσανεὶ κάτω νοουμένη.

ξς'. [Τί ἐστι πλευρά;]

Πλευρὰ δὲ μία τῶν τὸ σχῆμα περικλειουσῶν.

ξζ'. [Τί ἐστι διαγώνιος;]

Διαγώνιος δὲ ἡ ἀπὸ γωνίας εἰς γωνίαν ἀγομένη εὐθεῖα.

ξη'. [Τί ἐστι κάθετος;]

Κάθετος δέ ἐστιν ἡ ἀπὸ σημείου εὐθεῖα ἐπὶ εὐθεῖαν ἠγμένη.

1—10 om. V. 3 *ἐστιν*] *εἰσιν* F, sed corr. *ὅσα*] *ὅσας* C. 6 *μὴ ἴσας*] Schmidt, *μείζους* CF, *ἀνίσους* Dasypodius. 10 *ἑξαγώνια*] om. F. *ἐπ'*] F, *ἐπί* C. 11 *τῶν τῶν*] scripsi, *τῶν*

62. [Was ist ein gleichschenkliges Trapez?]

Von den Trapezen aber sind einige gleichschenklig, einige ungleichseitig. Gleichschenklig sind nun solche, die die nicht parallelen Seiten gleich haben.

63. [Was ein ungleichseitiges Trapez?]

Ungleichseitige aber solche, die die nicht parallelen Seiten ungleich haben.

64. [Welche sind also die Vielecke in der Ebene?]

Vieleckige Figuren in der Ebene sind solche, die von mehr als vier Geraden umschlossen werden, wie Fünfecke, Sechsecke und die weiteren Polygone, die ins unbegrenzte fortgehen.

65. [Von den einzelnen Benennungen an den gradlinigen Figuren in der Ebene, und zwar: was ist Grundlinie?]

Grundlinie wird an einem ebenen Flächenraum die Linie genannt, welche gleichsam unten gedacht wird.

66. [Was ist Seite?]

Seite aber ist eine von den die Figur umschließenden Geraden.

67. [Was ist Diagonale?]

Diagonale aber die von Winkel zu Winkel gezogene Gerade.

68. [Was ist eine Kathete?]

Kathete aber ist die von einem Punkt auf eine Gerade gezogene Gerade.

CFV. 12 καθ᾽] Hultsch, καί CFV. οἷον V. ἐπίβασις V, corr. m. 2. 13 ἐπιπέδου] V, ἐπίπεδος CF. ἡ] om. V. ὡσανί F.

14 κάτω] F, κ'τω C, ἑκάστῳ V. 17 ἐστι] om. F. διαγώνιο$\overset{\sigma}{\upsilon}$ F, διάγωνος V. 18 διάγωνος V. 20 ἐστι] om. F.

ξθʹ. [Τί ἐστι κάθετος πρὸς ὀρθάς;]

Κάθετος δὲ πρὸς ὀρθὰς λέγεται ἡ ὀρθὰς ποιοῦσα τὰς ἐφεξῆς γωνίας, τῇ δὲ εὐθείᾳ ἐφεστηκυῖα.

οʹ. [Τίνες εἰσὶ παράλληλοι γραμμαί;]

Παράλληλοι δὲ καλοῦνται γραμμαὶ ἀσύμπτωτοι, ὅσαι ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι καὶ ἐκβαλλόμεναι ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ μηδέτερα συμπίπτουσιν ἀλλήλαις, αἱ μήτε συννεύουσαι μήτε ἀπονεύουσαι ἐν ἐπιπέδῳ, ἴσας δὲ ἔχουσαι τὰς καθέτους πάσας τὰς ἀγομένας ἀπὸ τῶν ἐπὶ τῆς ἑτέρας σημείων ἐπὶ τὴν λοιπήν.

οαʹ. [Τίνες οὐ παράλληλοι εὐθεῖαι;]

Οὐ παράλληλοι δὲ εὐθεῖαί εἰσιν, ὅσαι συννεύουσαι μείους ἀεὶ τὰς καθέτους ποιοῦσιν.

οβʹ. [Τί ἐστι τριγώνου ὕψος;]

Τριγώνου δὲ ὕψος καλεῖται ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἀγομένη.

ογʹ. [Τίνα τῶν ἐπιπέδων σχημάτων συμπληροῖ τὸν τοῦ ἐπιπέδου τόπον;]

Μόνα δὲ τῶν ἐπιπέδων ἰσογωνίων καὶ ἰσοπλεύρων σχημάτων συμπληροῖ τὸν τοῦ ἐπιπέδου τόπον τό τε τρίγωνον καὶ τὸ τετράγωνον καὶ τὸ ἑξάγωνον. τρίγωνον γοῦν ἀπὸ τῆς ἑαυτοῦ κορυφῆς προσλαβὸν ἄλλα πέντε συμπληροῖ τὸν τοῦ ἐπιπέδου τόπον χώραν ἐν

---

4 *παράλληλοι γραμμαί*] Hultsch, *παραλληλόγραμμοι* CFV. 7 *τὰ*] Dasypodius ex Eucl. I def. 23, om. CFV. *ἐπὶ*] *ἐπεὶ δέ* F. *αἱ*] fort. scrib. *ἢ αἱ*. 8 *συνεύουσαι* C. 10 *λοιπήν*] corr. ex *λοιπόν* V. 11 *οὐ*] *δὲ αἱ οὐ* V. 12 *συνεύουσαι* C.

69. [Was ist eine senkrecht stehende Kathete?]

Senkrecht stehende Kathete aber wird die Gerade genannt, welche die Nachbarwinkel gleich bildet und auf der Geraden aufgerichtet ist.

70. [Welche sind Parallellinien?]

Parallel aber werden gleichlaufende Linien genannt, die in derselben Ebene sind und nach beiden Seiten verlängert nach keiner von beiden hin unter sich zusammenfallen; sie neigen sich in der Ebene weder gegeneinander noch voneinander ab, sondern haben alle Katheten gleich, die von den auf der einen gelegenen Punkten auf die andere gezogen werden.

71. [Welche sind nichtparallele Geraden?]

Nichtparallele Gerade aber sind solche, die gegeneinander neigend die Katheten immer kleiner machen.

72. [Was ist Höhe eines Dreiecks?]

Höhe aber eines Dreiecks wird die Kathete genannt, welche vom Scheitelpunkt auf die Grundlinie gezogen wird.

73. [Welche ebenen Figuren füllen den Raum der Ebene?]

Von den ebenen gleichwinkligen und gleichseitigen Figuren aber füllen diese allein den Raum der Ebene: das Dreieck, das Quadrat und das Sechseck. Das Dreieck nämlich füllt, wenn es von seinem Scheitelpunkt aus fünf andere hinzunimmt, den Raum der Ebene aus ohne irgendwelchen Platz dazwischen zu lassen, und ebenso das Quadrat,

---

13 *μείους*] Hultsch, cfr. Proclus in Eucl. p. 176, 10; *μείζους* CFV. *ποιοῦσι* C. 14 *ὕψος*] *ἀψίς* C. 15 *τριγώνου*] *τρίγωνον* C, corr. m. 2. 16 *ἀγομένη*] des. V. 19 *ἰσογωνίων*] Friedlein, om. CF. 20 *συμπληρῶν* F, sed corr. 22 *αὐτοῦ* F. *προσλαβὸν*] F, *προσλαβών* C.

μέσῳ μηδεμίαν καταλεῖπον, καὶ τετράγωνον ὁμοίως προσλαβὸν τρία, καὶ ἑξάγωνον προσλαβὸν δύο.

[Ὃ λέγει, τοιοῦτόν ἐστι· τῶν τεσσάρων γωνιῶν τὸν ὅλον συμπαραλαμβάνει τόπον, καθʼ ὃ τέμνουσιν ἀλλήλας αἱ εὐθεῖαι ὡσαύτως· αἱ γὰρ τέσσαρες γωνίαι τέσσαρσι καθέτοις ἴσαι εἰσί. καὶ τετράγωνον ὁμοίως καὶ ἑξάγωνον.]

Ἑρμηνεία τῶν στερεομετρουμένων.

οδʹ. [Τίνες τῶν ἐν τοῖς στερεοῖς σχήμασι τῶν ἐπιφανειῶν διαφοραί;]

Τῶν ἐν τοῖς στερεοῖς σχήμασι τῶν ἐπιφανειῶν αἱ μὲν ἀσύνθετοι λέγονται, αἱ δὲ σύνθετοι. ἀσύνθετοι μὲν οὖν εἰσιν, ὅσαι ἐκβαλλόμεναι αὐταὶ καθʼ ἑαυτῶν πίπτουσιν, οἷον ἡ τῆς σφαίρας, σύνθετοι δέ, ὅσαι ἐκβαλλόμεναι τέμνουσιν ἀλλήλας. τῶν δὲ συνθέτων αἱ μὲν ἐξ ἀνομοιογενῶν εἰσι σύνθετοι, αἱ δὲ ἐξ ὁμοιογενῶν, ἐξ ἀνομοιογενῶν μὲν αἱ τῶν κώνων καὶ κυλίνδρων καὶ ἡμισφαιρίων καὶ τῶν τούτοις ὁμοίων, ἐξ ὁμοιογενῶν δὲ αἱ τῶν στερεῶν εὐθυγράμμων. καὶ καθʼ ἑτέραν δὲ διαίρεσιν τῶν ἐν τοῖς στερεοῖς σχήμασιν τῶν ἐπιφανειῶν αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ μικταί. ἁπλαῖ μὲν οὖν εἰσιν ἐν τοῖς στερεοῖς ἥ τε ἐπίπεδος καὶ ἡ σφαιρική, μικταὶ δὲ ἥ τε κωνικὴ καὶ κυλινδρικὴ καὶ αἱ ταύταις ὅμοιαι. αὗται μὲν οὖν μικταὶ ἐξ ἐπιπέδου καὶ περιφεροῦς, αἱ δὲ σπειρικαὶ μικταί εἰσιν ἐκ

1 τετράγωνον] C, τετράγωνα F. 2 τρία καὶ ἑξάγωνον προσλαβὸν] Martin, om. CF. 3—7 scholium esse uidit Martin. 4 ὅλον] Martin, cfr. Proclus in Eucl. p. 304, 16; τόπον CF. ὃ] C, ὂν F. 5 τέσσαρες] Martin, τέσσαρεις CF. 6 καὶ —7 ἑξάγωνον] del. Martin. 8 στερεομετρουμένων] Hultsch, στερεουμετρουμένων C, στερεωμετρουμένων F. 9 τῶν (alt.)]

wenn es drei hinzunimmt, und das Sechseck, wenn es zwei hinzunimmt.

[Was er meint, ist dies: es*) umfaßt den ganzen Raum der vier Winkel, wie (zwei) Geraden sich in derselben Weise schneiden; denn die vier Winkel entsprechen vier Katheten. Und ebenfalls Quadrat und Sechseck.]

Erklärung der stereometrischen Benennungen.

74. [Welche sind die Arten der Flächen in den körperlichen Figuren?]

In betreff der Teile der körperlichen Figuren werden von den Flächen einige nicht zusammengesetzt, einige zusammengesetzt genannt. Nicht zusammengesetzt sind nun solche, die verlängert in sich selbst fallen, wie die Kugelfläche, zusammengesetzt aber solche, die verlängert sich schneiden. Von den zusammengesetzten aber sind einige aus ungleichartigen zusammengesetzt, einige aus gleichartigen, aus ungleichartigen die Flächen der Kegel, Zylinder, Halbkugeln und der ihnen ähnlichen Körper, aus gleichartigen aber die der gradlinigen Körper. Nach einer anderen Einteilung aber sind von den Teilen der körperlichen Figuren die Flächen teils einfach, teils gemischt. Einfach sind nun in den Körpern die Ebene und die Kugelfläche, gemischt aber die Kegel- und Zylinderfläche und die ihnen ähnlichen. Diese sind nun aus ebenem und rundem gemischt, die spirischen Flächen aber sind aus zwei Peripherien ge-

*) Das Dreieck mit fünf anderen zusammen.

---

del. Hultsch. 11 *τῶν* (alt.)] del. Dasypodius. 13 *αὐτῶν* F. 16 *ἀνομοιογενῶν*] F, *ἀνομογενῶν* C. 17 *κώνων*] F, *κόνων* C. 18 *ἡμισφαιρίων*] Hultsch, *ἡμικυκλίων* CF. *ὁμοιογενῶν*] F, *ὁμογενῶν* C. 21 *τῶν*] C, om. F. 22 *ἥ τε*] Schmidt, om. CF, *ἡ* Friedlein, *αἱ* Hultsch. *ἐπίπεδος*] Friedlein, *ἐπιπέδοις* CF, *ἐπίπεδοι* Hultsch. 23 *τε κωνικὴ*] Dasypodius, *τεκτονική* CF, -*τ*- del. C. *καὶ* (alt.)] *καὶ ἡ* Hultsch. 24 *ταύταις*] Dasypodius, *ταύτης* C, *ταύτῃ* F. *ἐξ*] B, *αἱ ἐξ* CF. 25 *περιφεροῦς*] C, *περιφερείας* F.

δύο περιφερειῶν, καὶ ἄλλαι δὲ πλείους εἰσὶν ὥσπερ σύνθετοι οὕτω καὶ μικταὶ ἄπειροι.

οε'. [*Τίνες ἐν τοῖς στερεοῖς σχήμασι γραμμῶν διαφοραί;*]

Τῶν ἐν τοῖς στερεοῖς σχήμασι τῶν γραμμῶν αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ μικταί. ἁπλαῖ μὲν οὖν αἵ τε εὐθεῖαι καὶ περιφερεῖς, μικταὶ δὲ αἵ τε κωνικαὶ καὶ σπειρικαί. καὶ αὗται μὲν τεταγμέναι εἰσίν, τῶν δὲ ἀτάκτων πλῆθος ἄπειρόν ἐστιν ὡς καὶ τῶν συνθέτων.

ος'. [*Περὶ σφαίρας, ἀσυνθέτου στερεοῦ σώματος, καὶ σφαιρικῆς ἐπιφανείας.*]

Σφαῖρά ἐστι σχῆμα στερεὸν ὑπὸ μιᾶς ἐπιφανείας περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς καὶ κατὰ μέσον τοῦ σχήματος κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν· ἢ σχῆμα στερεὸν ἄκρως στρογγύλον, ὥστε ἐκ τοῦ μέσου πάντη ἴσας ἔχειν τὰς ἀποστάσεις· ὅταν γὰρ ἡμικυκλίου μενούσης τῆς διαμέτρου περιενεχθὲν τὸ ἡμικύκλιον εἰς ταὐτὸ πάλιν ἀποκατασταθῇ, ἡ μὲν γινομένη ἐπιφάνεια ὑπὸ τῆς τοῦ ἡμικυκλίου περιφερείας σφαιρικὴ ἐπιφάνεια καλεῖται, τὸ δὲ περιληφθὲν στερεὸν σχῆμα σφαῖρα.

οζ'. [*Τί κέντρον σφαίρας;*]

Τὸ δὲ μέσον τῆς σφαίρας κέντρον αὐτῆς καλεῖται· ἔστι δὲ ταὐτὸ τοῦτο καὶ τοῦ ἡμικυκλίου κέντρον.

---

5 *τῶν* (alt.)] del. Dasypodius. 7 *τε κωνικαὶ*] Dasypodius, *τεκτονικαί* CF. *καὶ* (alt.)] *καὶ αἱ* Hultsch. 8 *εἰσίν*] C, *εἰσί* F.

mischt, und es gibt auch mehrere andere sowohl gemischte als zusammengesetzte ins unbegrenzte.

75. [Welche die Arten der Linien in den körperlichen Figuren?]

In betreff der Teile der körperlichen Figuren sind von den Linien einige einfach, einige gemischt. Einfach sind nun die Geraden und kreisrunden, gemischt aber die Kegellinien und die spirischen Linien. Und zwar sind diese regelmäßig, von den unregelmäßigen aber gibt es eine unbegrenzte Menge, wie auch von den zusammengesetzten.

76. [Von dem nicht zusammengesetzten soliden Körper, der Kugel, und von der Kugeloberfläche.]

Eine Kugel ist eine körperliche Figur umschlossen von einer Fläche dergestalt, daß alle Geraden, die auf diese fallen von einem der innerhalb und in der Mitte der Figur gelegenen Punkte aus, gleich sind; oder eine körperliche Figur vollkommen rund, so daß sie die Entfernungen nach allen Seiten hin von der Mitte aus gleich hat; wenn nämlich ein Halbkreis, indem sein Durchmesser fest bleibt, herumgeführt und in dieselbe Lage wieder zurückgebracht wird, so wird die durch die Peripherie des Halbkreises entstehende Fläche Kugelfläche genannt, die umschlossene körperliche Figur aber Kugel.

77. [Was ist ein Kugelzentrum?]

Der Mittelpunkt aber der Kugel wird ihr Zentrum genannt; es ist zugleich auch Zentrum des Halbkreises.

---

10 *ἀσυνθέτου*] Hultsch, *συνθέτου* C, *συνθέτου καί* F. 11 *σφερικῆς* F. 13 *καὶ κατὰ*] scripsi, *καί* CF, *κατά* Friedlein.

16 *πάντη*] Dasypodius, *παντί* C, *παν* F. 25 *ἡμικυκλίου*] Dasypodius, cfr. Eucl. XI def. 16; *ἡμισφαιρίου* CF.

οη'. [Τί ἄξων σφαίρας;]

Ἡ δὲ διάμετρος τῆς σφαίρας ἄξων καλεῖται, καὶ ἔστιν εὐθεῖά τις διὰ τοῦ κέντρου ἠγμένη καὶ περατουμένη ἐφ' ἑκάτερα τὰ μέρη ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας, ἀμετακίνητος, περὶ ἣν ἡ σφαῖρα κινεῖται καὶ στρέφεται.

οθ'. [Τί ἐστι πόλος;]

Τὰ πέρατα τοῦ ἄξονος πόλοι καλοῦνται.

π'. [Τί κύκλος ἐν σφαίρᾳ;]

Ἐὰν δὲ σφαῖρα τμηθῇ, ἡ τομὴ κύκλος γίνεται.

πα'. [Τί κύκλου πόλος ἐπὶ σφαίρᾳ;]

Κύκλου δὲ πόλος ἐν σφαίρᾳ λέγεται σημεῖον ἐπὶ τῆς ἐπιφανείας τῆς σφαίρας, ἀφ' οὗ πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν περιφέρειαν ἴσαι ἀλλήλαις εἰσίν.

πβ'. [Ὅτι τῶν στερεῶν ἰσοπεριμέτρων σχημάτων μείζων ἡ σφαῖρα.]

Ὥσπερ δὲ τῶν ἐπιπέδων ἰσοπεριμέτρων σχημάτων μείζων ἐστὶ κύκλος, οὕτως τὸ τῆς σφαίρας σχῆμα πάντων τῶν στερεῶν ἰσοπεριμέτρων αὐτῇ σχημάτων, τουτέστι τῶν τῇ ἴσῃ ἐπιφανείᾳ κεχρημένων, μέγιστόν ἐστι· διὸ καὶ περιεκτικὸν τῶν ἄλλων ἁπάντων ἐλαττόνων.

[Περὶ τῶν ἐξ ἀνομογενῶν συνθέτων στερεῶν σχημάτων οὕτως.]

πγ'. [Τί κῶνος;]

Κῶνός ἐστι σχῆμα στερεὸν βάσιν μὲν ἔχον κύκλον,

---

4 ὑπὸ τῆς ἐπιφανείας] Friedlein, cfr. Eucl. XI def. 17; om. CF. 8 ἄξονος] F, ἄξωνος C. 11 σφαίρᾳ] C, σφαῖραν F, σφαίρας Hultsch. 14 ἀλλήλαις] F, ἀλλήλοις C. 19 οὕτως]

78. [Was eine Kugelachse?]

Der Durchmesser aber der Kugel wird Achse genannt: es ist eine Gerade durch das Zentrum gezogen und auf beiden Seiten von der Kugeloberfläche begrenzt, unbewegt, um welche die Kugel sich bewegt und dreht.

79. [Was ist ein Pol?]

Die Endpunkte der Achse werden Pole genannt.

80. [Was ist ein Kreis auf einer Kugel?]

Wenn aber eine Kugel geschnitten wird, so wird der Schnitt ein Kreis.

81. [Was ist der Pol eines Kreises auf einer Kugel?]

Pol aber eines Kreises auf einer Kugel wird ein Punkt auf der Kugelfläche genannt, von welchem alle auf den Umkreis fallende Geraden unter sich gleich sind.

82. [Die Kugel ist größer als die körperlichen Figuren gleichen Umfangs.]

Wie aber der Kreis größer ist als die ebenen Figuren gleichen Umfangs, so ist die Figur der Kugel die größte von allen körperlichen Figuren, die mit ihr gleichen Umfangs sind, d. h. welche die gleiche Oberfläche haben; daher ist sie im Stande alle übrige als die kleineren zu fassen.

83. [Von den aus ungleichartigen zusammengesetzten körperlichen Figuren und zwar: was ist ein Kegel?]

Ein Kegel ist eine körperliche Figur, die als Grundfläche einen Kreis hat und auf einen Punkt zu sich zu-

---

C, *οὕτω* F. 20 *αὐτῇ*] Hultsch, *αὐτῆς* CF. 21 *κεχρημένων*] F, *κεχρημένον* C. 22 *ἁπάντων*] fort. scrib. *ἁπάντων ὄντων*. Mg. *τὶ ἰσοπερίμετρον* C². 23 *ἀνομοιογενῶν* F. 26 *κύκλον*] Dasypodius, *κύκλου* CF.

συναγόμενον δὲ ὑφ' ἓν σημεῖον· ἐὰν γὰρ ἀπὸ μετεώρου σημείου ἐπὶ κύκλου περιφέρειαν εὐθεῖά τις προβληθῇ καὶ περιενεχθεῖσα εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, τὸ ἀπογενηθὲν σχῆμα κῶνος γίνεται. καὶ ἄλλως· ἐὰν ὀρθογωνίου τριγώνου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν γωνίαν περιενεχθὲν τὸ τρίγωνον [σχῆμα] εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι [περιληφθὲν σχῆμα], ἡ μὲν γινομένη ἀπὸ τῆς ὑποτεινούσης τοῦ τριγώνου πλευρᾶς περιοχὴ ἐπιφάνεια κωνικὴ καλεῖται, τὸ δὲ περιληφθὲν σχῆμα στερεὸν κῶνος.

πδ'. [*Τί βάσις κώνου;*]

Βάσις δὲ κώνου ὁ κύκλος καλεῖται.

πε'. [*Τί κορυφὴ κώνου;*]

Κορυφὴ δὲ κώνου τὸ σημεῖον.

πς'. [*Τί ἄξων κώνου;*]

Ἄξων δὲ κώνου ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὸ κέντρον τοῦ κύκλου ἐπιζευγνυμένη εὐθεῖα, τουτέστιν ἡ μένουσα.

πζ'. [*Τίς ἰσοσκελὴς κῶνος;*]

Ἰσοσκελὴς δὲ κῶνος λέγεται ὁ τοῦ τριγώνου ἴσας ἔχων τὰς πλευράς.

πη'. [*Τί κῶνος σκαληνός;*]

Σκαληνὸς δὲ κῶνος ὁ ἀνίσους λέγεται.

---

1 *ὑφ'*] *εἰς* F. 2 *προβληθῇ*] F, *προβληθῆναι* C. 4 *γίνεται*] *ἔστιν* F. 6 *τὸ τρίγωνον*] Schmidt, cfr. Eucl. XI def. 18; *τρίγωνον* CF. *σχῆμα*] deleo. 7 *εἰς τὸ*] F, *εἰς* C. 8 *περι-*

sammenzieht; wenn nämlich von einem höher gelegenen Punkt aus eine Gerade auf eine Kreisperipherie gezogen wird und herumgeführt in dieselbe Lage wieder zurückgebracht wird, so wird die hervorgebrachte Figur ein Kegel. Und in anderer Weise: wenn, indem in einem rechtwinkligen Dreieck die eine der den rechten Winkel umgebenden Seiten fest bleibt, das Dreieck herumgeführt in dieselbe Lage wieder zurückgebracht wird, von der aus es sich zu bewegen anfing, so wird die Umfassung, die durch die Hypotenuse des Dreiecks entsteht, Kegelfläche genannt, die umschlossene körperliche Figur aber Kegel.

84. [Was ist Grundfläche eines Kegels?]

Grundfläche aber des Kegels wird der Kreis genannt.

85. [Was Spitze eines Kegels?]

Spitze aber des Kegels der Punkt.

86. [Was Achse eines Kegels?]

Achse aber des Kegels die von der Spitze zum Mittelpunkt des Kreises gezogene Gerade, d. h. die fest bleibende.

87. [Welcher ist der gleichschenklige Kegel?]

Gleichschenklig aber wird der Kegel genannt, der die Seiten des Dreiecks gleich hat.

88. [Was ein ungleichschenkliger Kegel?]

Ungleichschenklig aber wird der Kegel genannt, der sie ungleich hat.

ληφθὲν σχῆμα] del. Hultsch, *τὸ περιληφθὲν σχῆμα* Dasypodius; transsumpta sunt ex Eucl. XI p. 6, 7. *ἀπὸ*] *ὑπό* Schmidt. 17 *τουτέστι* CF. *ἤ*] Dasypodius, om. CF. 23 *ἀνίσους*] Hultsch praeeunte Hasenbalgio, *ἄνισος* CF.

πθ'. [Τί ὀρθογώνιος κῶνος;]

Ὀρθογώνιος δὲ κῶνός ἐστιν, ἐὰν ἡ μένουσα πλευρὰ ἴση ᾖ τῇ περιφερομένῃ, ἧ οὗ τμηθέντος διὰ τοῦ ἄξονος τὸ γενόμενον ἐν τῇ ἐπιφανείᾳ σχῆμα τρίγωνον ὀρθογώνιον γίνεται.

ϙ'. [Τί ὀξυγώνιος κῶνος;]

Ὀξυγώνιος δὲ κῶνός ἐστιν, οὗ ἡ μένουσα μείζων ἐστὶ τῆς περιφερομένης, ἧ οὗ τμηθέντος τὸ γενόμενον τμῆμα τρίγωνον ὀξυγώνιον γίνεται.

ϙα'. [Τί ἀμβλυγώνιος κῶνος;]

Ἀμβλυγώνιος δὲ κῶνός ἐστιν, οὗ ἡ μένουσα πλευρὰ ἐλάττων ἐστὶ τῆς περιφερομένης, ἧ οὗ τμηθέντος τὸ γενόμενον ἐν τῇ ἐπιφανείᾳ τρίγωνον ἀμβλυγώνιον γίνεται.

ϙβ'. [Τί κόλουρος κῶνος;]

Κόλουρος δὲ κῶνος καλεῖται ὁ τὴν κορυφὴν κολοβωθεῖσαν ἐσχηκώς.

ϙγ'. [Τί ἐπιφάνεια κώνου;]

Ἡ δὲ ἐπιφάνεια τοῦ κώνου ἄλλως μὲν κυρτὴ καλεῖται, ἄλλως δὲ κοίλη.

ϙδ'. [Τί τομὴ κώνου;]

Τεμνόμενος δὲ κῶνος διὰ τῆς κορυφῆς τρίγωνον ποιεῖ τὴν τομήν, παραλλήλως δὲ τῇ βάσει τμηθεὶς κύκλον, μὴ παραλλήλως δὲ τμηθεὶς ἄλλο τι μέρος γραμμῆς, ὃ καλεῖται κώνου τομή. τῶν δὲ τοῦ κώνου

---

3 οὗ] Dasypodius, οὐ CF. ἄξονος] ἄξωνος F, ἀξώνου C. 4 γινόμενον F. τριγώνου F. 7 μείζων] Dasypodius, ἐλάττων

89. [Was ein rechtwinkliger Kegel?]

Rechtwinklig aber ist ein Kegel, wenn die fest bleibende Seite der herumgeführten gleich ist, oder bei dem, wenn er durch die Achse geschnitten wird, die in der Oberfläche entstandene Figur ein rechtwinkliges Dreieck wird.

90. [Was ein spitzwinkliger Kegel?]

Spitzwinklig aber ist ein Kegel, bei dem die fest bleibende größer ist als die herumgeführte, oder bei dem, wenn er geschnitten wird, der entstandene Schnitt ein spitzwinkliges Dreieck wird.

91. [Was ein stumpfwinkliger Kegel?]

Stumpfwinklig aber ist ein Kegel, bei dem die fest bleibende Seite kleiner ist als die herumgeführte, oder bei dem, wenn er geschnitten wird, das in der Oberfläche entstandene Dreieck stumpfwinklig wird.

92. [Was ist ein Kegelstumpf?]

Kegelstumpf aber wird ein Kegel genannt, dem die Spitze verstümmelt ist.

93. [Was ein Kegelmantel?]

Der Kegelmantel aber wird von einer Seite her konvex genannt, von der anderen konkav.

94. [Was ein Kegelschnitt?]

Durch die Spitze geschnitten bringt ein Kegel als Schnitt ein Dreieck hervor, der Grundfläche parallel geschnitten einen Kreis, nicht parallel geschnitten aber eine andere Liniengruppe, die Kegelschnitte genannt werden. Von den

---

CF. 8 *οὔ*] Dasypodius, *οὐ* CF. 12 *ἐλάττων*] Dasypodius, *μείζων* CF. *οὔ*] Dasypodius, *οὐ* CF. 16 *κολοβοθεῖσαν* C. 24 *κύκλον*] Dasypodius, *κῶνον* CF. *τμηθεὶς*] C, *τμηθεὶς τῇ βάσει* F. *ἄλλο τι*] F, *ἀλλ' ὅτι* C.

τομῶν ἡ μὲν καλεῖται ὀρθογώνιος, ἡ δὲ ἀμβλυγώνιος, ἡ δὲ ὀξυγώνιος. ὀξυγώνιος μὲν οὖν ἡ αὐτῇ συνάπτουσα καὶ ποιοῦσα σχῆμα θυρεοειδές, καλεῖται δὲ ὑπό τινων καὶ ἔλλειψις· ἡ δὲ τοῦ ὀρθογωνίου καλεῖται παραβολή, ἡ δὲ τοῦ ἀμβλυγωνίου ὑπερβολή.

ϙε'. [*Περὶ κυλίνδρου ἄξονος καὶ βάσεως αὐτοῦ καὶ τομῆς κυλίνδρου.*]

Κύλινδρός ἐστι σχῆμα στερεόν, ὅπερ νοεῖται ἀποτελούμενον παραλληλογράμμου ὀρθογωνίου περὶ μίαν τῶν πλευρῶν μένουσαν στραφέντος καὶ ἀποκατασταθέντος, ὅθεν καὶ ἤρξατο φέρεσθαι. ἡ δὲ μένουσα εὐθεῖα, περὶ ἣν ἡ στροφή, ἄξων λέγεται, αἱ δὲ βάσεις κύκλοι οἱ γενόμενοι ὑπὸ τῶν ἴσων πλευρῶν τοῦ παραλληλογράμμου, τομαὶ δὲ κυλίνδρου αἱ μὲν παραλληλόγραμμοι, αἱ δὲ ὀξυγωνίων κώνων.

ϙϛ'. [*Περὶ τομῆς κοινῶς.*]

Τέμνεται δὲ στερεὸν μὲν ὑπὸ ἐπιφανείας, ἐπιφάνεια δὲ ὑπὸ γραμμῆς, γραμμὴ δὲ ὑπὸ στιγμῆς· ἐνίοτε δὲ καὶ ὑπὸ γραμμῆς λέγεται τέμνεσθαι κατὰ ἀναφορὰν τὴν ἐπὶ τὴν στιγμήν, καὶ ἐπιφάνεια δὲ ὑπὸ ἐπιφανείας κατὰ ἀναφορὰν τὴν ἐπὶ τὴν γραμμήν.

ϙζ'. *Περὶ τῶν ἐκ* $\overline{\beta}$ *περιφερειῶν στερεῶν σχημάτων, σπείρας ἤτοι κρίκου.*]

Σπεῖρα γίνεται, ὅταν κύκλος ἐπὶ κύκλου τὸ κέντρον ἔχων ὀρθὸς ὢν πρὸς τὸ τοῦ κύκλου ἐπίπεδον

---

1 *ὀρθογωνίου* et *ἀμβλυγωνίου* et *ὀξυγωνίου* (bis lin. 2) Friedlein. 2 *αὐτῇ*] Hultsch praeeunte Dasypodio, *αὐτή* CF; fort. *αὐτὴ αὐτῇ*. 3 *χρῆμα* F. *θυρεοειδές*] Schmidt coll. Proclo in Eucl. p. 103, 6 sqq., *θυροειδές* CF. 4 *ἔλλειψις*] Da-

Kegelschnitten aber wird einer rechtwinklig genannt, einer stumpfwinklig und einer spitzwinklig. Spitzwinklig ist nun der in sich zusammenhängende, der eine schildförmige Figur bildet; er wird von einigen auch Ellipse genannt. Der Schnitt des rechtwinkligen Kegels wird Parabel genannt, der des stumpfwinkligen aber Hyperbel.

95. [Von der Achse eines Zylinders, seiner Grundfläche und dem Zylinderschnitt.]

Ein Zylinder ist eine solide Figur, die dadurch entstehend gedacht wird, daß ein rechtwinkliges Parallelogramm um eine der Seiten, die fest bleibt, sich dreht und in dieselbe Lage zurückgebracht wird, von der aus es sich zu bewegen anfing. Die fest bleibende Gerade, um die die Drehung geschieht, wird Achse genannt, Grundflächen aber die Kreise, die durch die gleichen Seiten des Parallelogramms entstanden sind, die Zylinderschnitte aber sind teils Parallelogramme, teils Schnitte spitzwinkliger Kegel.

96. [Vom Schnitt allgemein.]

Geschnitten wird aber Körper von Fläche, Fläche von Linie und Linie von Punkt; zuweilen aber sagt man auch, mit Beziehung auf den Punkt, sie werde von einer Linie geschnitten, und ebenso, mit Beziehung auf die Linie, eine Fläche von einer Fläche.

97. [Von den aus zwei Peripherien gebildeten körperlichen Figuren, Wulst oder Ring.]

Eine Wulst entsteht, wenn ein Kreis, der sein Zentrum auf einem Kreise hat, auf der Ebene dieses Kreises senk-

---

sypodius, *ἔλειψις* CF. 6 *ἄξονος*] Hultsch, *ἄξωνος* CF. 9 *παραλληλόγραμμον ὀρθογώνιον* CF, corr. Dasypodius. 10 *ἀποκαταστάντος* F. 14 *παραλληλόγραμμα* Dasypodius; deinde *αἱ δὲ κύκλοι* ins. Friedlein. 15 *κώνων τομαί* Friedlein. 16 *κοινῶς*] Hultsch, cfr. p. 10, 8; *κοινῆς* CF. 22 *περιφεριῶν* F. 23 *κρίκον*] F, *κρίσκον* C.

περιενεχθεὶς εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ· τὸ δὲ αὐτὸ τοῦτο καὶ κρίκος καλεῖται. διεχὴς μὲν οὖν ἐστι σπεῖρα ἡ ἔχουσα διάλειμμα, συνεχὴς δὲ ἡ καθ' ἓν σημεῖον συμπίπτουσα, ἐπαλλάττουσα δέ, καθ' ἣν ὁ περιφερόμενος κύκλος αὐτὸς αὑτὸν τέμνει. γίνονται δὲ καὶ τούτων τομαὶ γραμμαί τινες ἰδιάζουσαι. οἱ δὲ τετράγωνοι κρίκοι ἐκπρίσματά εἰσι κυλίνδρων· γίνονται δὲ καὶ ἄλλα τινὰ ποικίλα πρίσματα ἔκ τε σφαιρῶν καὶ ἐκ μικτῶν ἐπιφανειῶν.

ϛη'. [*Τίνες αἱ τῶν εὐθυγράμμων στερεῶν σχημάτων διαφοραί;*]

Τῶν δὲ εὐθυγράμμων στερεῶν σχημάτων ἃ μὲν καλοῦνται πυραμίδες, ἃ δὲ κύβοι, ἃ δὲ πολύεδρα, ἃ δὲ πρίσματα, ἃ δὲ δοκίδες, ἃ δὲ πλινθίδες, ἃ δὲ σφηνίσκοι, καὶ τὰ παραπλήσια.

ϛθ'. [*Τί ἐστι πυραμίς;*]

Πυραμὶς μὲν οὖν ἐστι σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον ἀφ' ἑνὸς ἐπιπέδου πρὸς ἑνὶ σημείῳ συνεστηκός. καὶ ἄλλως δὲ λέγεται πυραμὶς τὸ ἀπὸ βάσεως τριπλεύρου ἢ τετραπλεύρου ἢ πολυγώνου, τουτέστιν ἁπλῶς εὐθυγράμμου, κατὰ σύνθεσιν τριγώνων εἰς ἓν σημεῖον συναγόμενον σχῆμα. ἰδίως δὲ ἰσόπλευρος λέγεται πυραμὶς ἡ ὑπὸ τεσσάρων τριγώνων ἰσοπλεύρων περιεχομένη καὶ ἰσογωνίων· καλεῖται δὲ τὸ σχῆμα τοῦτο καὶ τετράεδρον.

---

2 *κρίκος* mg. add. C[2]. 3 *διάλειμμα*] *διάλειμα* F, *διάλυμα* C, *διάλημμα* Dasypodius. 4 *ἐπαλάττουσα* F. *δέ*] Dasypodius, *τε* CF. 8 *ἴσως στερεῶν* mg. F (ad *σφαιρῶν*). 10—25 hab. etiam V numeris omissis. 12 *ἃ*] *αἱ* V. 13 *ἃ* (pr.)] *αἱ* V. *πολύεδρα*] V, *πολυέδια* CF. 14 *ἃ δὲ σφηνίσκοι*]

recht stehend herumgeführt wird und wieder in dieselbe Lage zurückgebracht; diese selbe Figur wird auch Ring genannt. Eine unterbrochene Wulst nun ist eine solche, die einen Zwischenraum hat, eine ununterbrochene aber eine solche, die in **einem** Punkte zusammenfällt, eine übergreifende aber eine solche, wo der Kreis, der herumgeführt wird, sich selbst schneidet. Auch in diesen (den Wülsten) gibt es als Schnitte einige eigentümliche Linien.

Die viereckigen Ringe aber sind Aussägungen aus Zylindern; und es gibt noch andere mannigfaltige Aussägungen aus Kugeln und gemischten Flächen.

98. [Welche sind die Arten der gradlinigen körperlichen Figuren?]

Von den gradlinigen körperlichen Figuren aber werden einige Pyramiden genannt, andere Würfel, andere Polyeder, andere Prismen, andere Balken, andere Plinthiden, andere Spheniskeni und ähnliches.

99. [Was ist eine Pyramide?]

Eine Pyramide nun ist eine von Ebenen umschlossene körperliche Figur, die von **einer** Ebene aus an **einem** Punkte sich zusammenschließt. Und auf andere Weise wird Pyramide genannt die Figur, die von einer dreiseitigen oder vierseitigen oder polygonalen, d. h. überhaupt gradlinigen, Grundfläche aus durch Zusammensetzung von Dreiecken auf **einen** Punkt hin zusammengezogen wird. Besonders aber wird gleichseitige Pyramide genannt die von vier gleichseitigen und gleichwinkligen Dreiecken umschlossene; diese Figur wird aber auch Tetraeder genannt.

---

om. V. 17 *ἐπιπέδοις*] Dasypodius, *ἐν ἐπιπέδοις* CFV. 18 *σημεῖον* F. *συνεστηκός*] V, *συνεστηκώς* CF. 19 *δὲ*] e corr. V². 20 *ἢ τετραπλεύρου*] om. V. 21 *εὐθυγράμμου*] *πολυγάμου* F. 24 *καὶ*] om. F. *ἰσογωνίων*] Hasenbalg, *γωνιῶν* CFV (*καὶ γωνιῶν* del. Hultsch).

ρ'. [Τί ἐστι κύβος;]

Κύβος ἐστὶ σχῆμα στερεὸν ὑπὸ ϛ̅ τετραγώνων ἰσοπλεύρων καὶ ἰσογωνίων περιεχόμενον· καλεῖται δὲ τὸ σχῆμα τοῦτο καὶ ἑξάεδρον.

ρα'. [Περὶ ὀκταέδρου.]

Ὀκτάεδρόν ἐστι σχῆμα στερεὸν ὑπὸ ὀκτὼ τριγώνων ἰσοπλεύρων περιεχόμενον.

ρβ'. [Τί ἐστι δωδεκάεδρον;]

Δωδεκάεδρον δέ ἐστι σχῆμα ὑπὸ ι̅β̅ πενταγωνίων ἰσοπλεύρων τε καὶ ἰσογωνίων περιεχόμενον. τὸ δὲ πεντάγωνον, ἐξ οὗ γίνεται τὸ δωδεκάεδρον, ἴσον ἐστὶ τριγώνοις τρισὶ παρὰ δύο πλευρῶν.

ργ'. [Τί ἐστιν εἰκοσάεδρον;]

Εἰκοσάεδρόν ἐστιν σχῆμα στερεὸν ὑπὸ εἴκοσι τριγώνων ἰσοπλεύρων περιεχόμενον.

Εἰσὶ πέντε ταῦτα μόνον ὑπὸ ἴσων καὶ ὁμοίων περιεχόμενα, ἃ δὴ ὑπὸ τῶν Ἑλλήνων ὕστερον ἐπωνομάσθη Πλάτωνος σχήματα.

ρδ'. [Ὅτι πλὴν τοῦ δωδεκαέδρου τὰ δ̅ λόγον ἔχουσι πρὸς τὴν σφαῖραν.]

Τῶν δὲ τεσσάρων τούτων αἱ πλευραὶ λόγον ἔχουσι πρὸς τὴν σφαῖραν.

Εὐκλείδης μὲν οὖν ἐν τῷ ιγ' τῶν Στοιχείων ἀπέδειξε, πῶς τῇ σφαίρᾳ τὰ πέντε ταῦτα σχήματα περι-

---

In CF ordo est 103, 104, 101, 102, 100; corr. Friedlein; cfr. p. 62, 13 et p. 10, 14 sqq. 2 *τετραγώνων*] *στερεῶν* F. 9 *σχῆμα στερεὸν ὑπὸ* Hultsch. 12 *παρὰ*] lacuna est; fort. *δύο εὐθειῶν ἀπὸ μιᾶς γωνίας ἀγομένων ὑπὸ δύο πλευράς*. 14 *ἐστιν*]

100. [Was ist ein Würfel?]

Ein Würfel ist eine von 6 gleichseitigen und gleichwinkligen Quadraten umschlossene körperliche Figur; diese Figur wird aber auch Hexaeder genannt.

101. [Vom Oktaeder.]

Ein Oktaeder ist eine von 8 gleichseitigen Dreiecken umschlossene körperliche Figur.

102. [Was ist ein Dodekaeder?]

Ein Dodekaeder aber ist eine von 12 gleichseitigen und gleichwinkligen Fünfecken umschlossene Figur. Das Fünfeck aber, wovon das Dodekaeder gebildet wird, ist drei Dreiecken gleich, indem (zwei Geraden von einer Winkelspitze aus unter) je zwei Seiten (gezogen werden).

103. [Was ist ein Ikosaeder?]

Ein Ikosaeder ist eine von 20 gleichseitigen Dreiecken umschlossene körperliche Figur.

Es gibt nur diese fünf von gleichen und ähnlichen Figuren umschlossenen Körper, welche bekanntlich später von den Griechen die platonischen Körper benannt wurden.

104. [Die 4 (Körper) außer dem Dodekaeder haben ein Verhältnis zur Kugel.]

Die Seiten aber der vier derselben haben ein Verhältnis zur Kugel.

Eukleides hat nun im XIII. Buch der Elemente (13—17) bewiesen, wie er diese fünf Körper mit einer Kugel umfaßt; er nimmt nämlich nur die platonischen an. Archimedes aber

---

C, ἔστι F. 17 ὕστερον ἐπονομάσθη C, ἐπωνομάσθη ὕστερον F. 19 ρδ΄] om. CF, cfr. p. 10, 18. 23 ιγ΄] deformatum et renouatum C, ε΄ F. 24 τῇ] ἡ Dasypodius. σφαίρᾳ] F, σφαῖρα C; πῶς σφαῖρα περιλαμβάνει πολλὰ σχήματα mg. C².

λαμβάνει· μόνα γὰρ τὰ Πλάτωνος οἴεται. Ἀρχιμήδης δὲ τρισκαίδεκα ὅλα φησὶν εὑρίσκεσθαι σχήματα δυνάμενα ἐγγραφῆναι τῇ σφαίρᾳ προστιθεὶς ὀκτὼ μετὰ τὰ εἰρημένα πέντε· ὧν εἰδέναι καὶ Πλάτωνα τὸ τεσσαρεσκαιδεκάεδρον, εἶναί τε τοῦτο διπλοῦν, τὸ μὲν ἐξ ὀκτὼ τριγώνων καὶ τετραγώνων ἓξ σύνθετον, ἐκ γῆς καὶ ἀέρος, ὅπερ καὶ τῶν ἀρχαίων τινὲς ᾔδεσαν, τὸ δὲ ἕτερον πάλιν ἐκ τετραγώνων μὲν ὀκτώ, τριγώνων δὲ ϛ̄, ὃ καὶ χαλεπώτερον εἶναι δοκεῖ.

Καθόλου δὲ τῶν εὐθυγράμμων στερεῶν σχημάτων ἃ μέν ἐστι πυραμίδες, ἃ δὲ πρίσματα, ἃ δὲ οὔτε πυραμίδες οὔτε πρίσματα. τί μὲν οὖν ἐστι πυραμίς, προείρηται.

ρε′. *[Τί δὲ πρίσματα;]*

Πρίσματα δέ εἰσι τὰ ἀπὸ βάσεως εὐθυγράμμου κατ' εὐθυγράμμων σύνθεσιν πρὸς χωρίον εὐθύγραμμον συνάπτοντα.

ρϛ′. *[Τίνα τῶν σχημάτων οὔτε πυραμίδες οὔτε πρίσματα;]*

Οὔτε δὲ πυραμίδες οὔτε πρίσματά εἰσι τὰ ἀπὸ βάσεως εὐθυγράμμου κατ' εὐθυγράμμων σύνθεσιν πρὸς εὐθεῖαν συνάπτοντα.

ρζ′. *[Τίνα ἐστὶ παραλληλόγραμμα πρίσματα;]*

Τῶν δὲ πρισμάτων παραλληλόπλευρα καλεῖται, ὅσα ἑξάεδρα ὄντα τὰ ἀπέναντι ἐπίπεδα παράλληλα ἔχει.

---

2 *ὅλα*] fort. ὅλως. 3 *προστιθεὶς*] *κτλ.* error est Heronis; u. Pappus V 34. 7 *τινὲς*] B, ex parte euan. C, *τί ἐστιν* F. *ἤδεισαν* F. 8 *ὀκτώ*] *κτλ.* error est, cfr. Pappus V 34. 10 *καθόλου*] Dasypodius, *καθό* CF. 14 ρε′] ρδ′ C. *δὲ*] comp.

sagt, es gebe im ganzen dreizehn Körper, die in einer Kugel eingeschrieben werden können, indem er außer den genannten fünf noch acht hinzufügt; von diesen habe auch Platon das Tessareskaidekaeder gekannt, dies aber sei ein zweifaches, das eine aus acht Dreiecken und sechs Quadraten zusammengesetzt, aus Erde und Luft, welches auch einige von den Alten gekannt hätten, das andere umgekehrt aus acht Quadraten und sechs Dreiecken, welches schwieriger zu sein scheint.

Im allgemeinen aber sind von den gradlinigen körperlichen Figuren einige Pyramiden, andere Prismen, andere aber weder Pyramiden noch Prismen. Was nun eine Pyramide ist, ist vorher gesagt.

105. [Was sind Prismen?]

Prismen aber sind solche, die von einer gradlinigen Grundfläche aus durch Zusammensetzung gradliniger Figuren an eine gradlinige Fläche stoßen.

106. [Welche unter den Figuren sind weder Pyramiden noch Prismen?]

Weder Pyramiden noch Prismen aber sind solche, die von einer gradlinigen Grundfläche aus durch Zusammensetzung gradliniger Figuren an eine Gerade stoßen.

107. [Welche sind parallellinige Prismen?]

Von den Prismen aber werden parallelseitig genannt solche, die Hexaeder sind und die gegenüberstehenden Ebenen parallel haben.

C, *ἐστι* F. 15 *εἰσι*] C, *ἐστι* F. *εὐθυγράμμου κατ'*] Hasenbalg, om. CF. 18 *ρϛ'*] *ρε'* C, et sic deinceps. 21 *εὐθυγράμμων*] Hasenbalg, *εὐθύγραμμον* CF. 23 *τίνα—πρίσματα*] *τῶν δὲ παραλληλογράμμων πρισμάτων* F. 25 *ἐξάεδρα*] F, *ἔξαδρα* C. *ὄντα*] *καλεῖται* F, sed corr. *παράλληλα*] F, *παραλλήλας* C.

ρη'. [Τίνα τὰ παραλληλεπίπεδα;]

Παράλληλα δὲ ἐπίπεδά εἰσιν, ὅσα ἐκβαλλόμενα οὐ συμπίπτει ἀλλήλοις, ἢ ἐν οἷς ἴσων τριγώνων τινῶν γραφέντων ἑκάστη πλευρὰ παράλληλός ἐστιν.

ρθ'. [Τίς ἡ ἐν στερεῷ κάθετος;]

Κάθετος δὲ ἐν στερεῷ λέγεται ἡ ἀπὸ μετεώρου σημείου πρὸς ἐπίπεδον ἠγμένη, ἥτις πάσαις ταῖς ἁπτομέναις αὐτῆς ἐν τῷ ἐπιπέδῳ πρὸς ὀρθάς ἐστιν.

ρι'. [Τίνα τὰ παραλληλόπλευρα ὀρθογώνια πρίσματα, τίνα δὲ οὐκ ὀρθογώνια;]

Τῶν δὲ παραλληλοπλεύρων πρισμάτων ἃ μέν εἰσιν ὀρθογώνια, ἃ δὲ οὐκ ὀρθογώνια. ὀρθογώνια μὲν οὖν εἰσιν, ὅσα ἑκάστην τῶν γωνιῶν ὑπὸ τριῶν ὀρθῶν γωνιῶν περιεχομένην ἔχει εὐθυγράμμων, οὐκ ὀρθογώνια δὲ τὰ μὴ οὕτως ἔχοντα.

ρια'. [Τί ἐστι κύβος;]

Κύβος δέ ἐστι τῶν παραλληλοπλεύρων ὀρθογωνίων, ὃ προείρηται σχῆμα.

ριβ'. [Τί ἐστι δοκός;]

Δοκὸς δέ ἐστιν, ὃ τὸ μῆκος μεῖζον ἔχει τοῦ τε πλάτους καὶ τοῦ πάχους, ἔστι δὲ ὅτε τὸ πλάτος καὶ τὸ πάχος ἴσα. πάχος δὲ καὶ βάθος καὶ ὕψος τὸ αὐτὸ λεγέσθω.

---

2 παραλληλεπίπεδα δὲ F. 3 οἷς ἴσων] Dasypodius, ἐνοίζων C; εὐὔοίζων F, mg. ∵ 9 παραλληλόγραμμα F.

108. [Welche sind die Parallelepipeden?]

Parallele Ebenen aber sind solche, die verlängert unter sich nicht zusammenfallen, oder wo, wenn in ihnen irgendwelche gleichen Dreiecke gezeichnet werden, sämtliche Seiten derselben (paarweise) parallel sind.

109. [Was ist eine Senkrechte im Raume?]

Senkrecht aber im Raume wird eine solche genannt, die auf eine Ebene von einem höher liegenden Punkte gezogen wird, welche mit allen Geraden, die in der Ebene mit ihr zusammenstoßen, rechte Winkel bildet.

110. [Welche sind die parallelseitigen rechtwinkligen Prismen, und welche nicht rechtwinklige?]

Von den parallelseitigen Prismen aber sind einige rechtwinklig, andere nicht rechtwinklig. Rechtwinklig sind nun solche, die jeden ihrer Winkel von drei rechten gradlinigen Winkeln umschlossen haben, nicht rechtwinklig aber solche, die sich nicht so verhalten.

111. [Was ist ein Würfel?]

Ein Würfel aber ist unter den parallelseitigen rechtwinkligen die Figur, die oben definiert wurde (100).

112. [Was ist ein Balken?]

Ein Balken aber ist ein solches (parallelseitiges rechtwinkliges Prisma), das die Länge größer hat als die Breite und Dicke, Breite aber und Dicke zuweilen gleich. Die Benennungen Dicke, Tiefe und Höhe sollen dasselbe bedeuten.

---

13 *ἑκάστην*] Dasypodius, *ἑκάστη* CF. *γωνιῶν*] Friedlein, *ὀρθογωνίων* CF. *ὀρθῶν*] Hasenbalg, om. CF. 14 *περιεχομένην*] Dasypodius, *περιεχομένη* CF. *εὐθυγράμμων*] Friedlein, *γραμμήν* CF. 20 *μεῖζον*] F, *μείζων* C.

ριγ'. [Τί ἐστι πλινθίς;]

Πλινθὶς δέ ἐστι τὸ ἔχον τὸ μῆκος ἔλαττον τοῦ τε πλάτους καὶ βάθους, ἔστι δ' ὅτε ταῦτα ἀλλήλοις ἴσα.

ριδ'. [Τί ἐστι σφηνίσκος;]

Σφηνίσκος δέ ἐστι τὸ ἔχον ἄνισα ἀλλήλοις τό τε μῆκος καὶ τὸ πλάτος καὶ τὸ βάθος. τινὲς δὲ καὶ βωμίσκον καλοῦσι τὸ τοιοῦτον σχῆμα.

ριε'. [Τίνων καὶ πόσαι ἐν τοῖς σχήμασιν ἐπαφαί;]

1 Ἐφάπτεται δὲ γραμμὴ μὲν γραμμῆς καὶ ἐπιφανείας καὶ στερεοῦ κατὰ στιγμὴν καὶ κατὰ γραμμήν. στιγμὴ δὲ στιγμῆς ἁψαμένη μία γίνεται. γραμμὴ δὲ γραμμῆς ἁψαμένη ὅλη ὅλης ὁμοίως μία γίνεται. εὐθεῖα δὲ κύκλου ἐφάπτεσθαι λέγεται, ἥτις ἁπτομένη τοῦ κύκλου καὶ ἐκβαλλομένη ἐπὶ μηδέτερα τὰ μέρη τέμνει τὸν κύκλον. κύκλοι δὲ ἐφάπτεσθαι ἀλλήλων λέγονται, οἵτινες ἁπτόμενοι ἀλλήλων οὐ τέμνουσιν ἀλλήλους.

2 Εὐθεῖα δὲ πρὸς ἐπίπεδον ὀρθή ἐστιν, ὅταν πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς ἐν τῷ αὐτῷ ἐπιπέδῳ ὀρθὰς ποιῇ τὰς γωνίας.

3 Ἐπίπεδον δὲ πρὸς ἐπίπεδον ὀρθόν ἐστιν, ὅταν αἱ τῇ κοινῇ αὐτῶν τομῇ πρὸς ὀρθὰς ἐν ἑνὶ τῶν ἐπιπέδων ἀγόμεναι εὐθεῖαι καὶ τῷ λοιπῷ πρὸς ὀρθὰς ὦσιν.

4 Ἐπίπεδα δὲ παράλληλά εἰσι τὰ ἀσύμπτωτα.

ρις'. [Περὶ ἴσων καὶ ὁμοίων σχημάτων.]

Διαφέρει μὲν καὶ ἐν στερεοῖς καὶ ἐν ἐπιπέδοις, ἤδη

3 καὶ] καὶ τοῦ B. 8 τίνων] C, τίνες F. 13 ἁπτομένη] F, ἁπτομένου C. 18 αὐτῆς ἐν τῷ αὐτῷ] ἐνώσεῶς αὐτῆς (ῶ superscript) F, mg. ∵. 19 ποιῇ] Hultsch, ποιεῖ CF. 20 ὀρθόν ἐστιν, ὅταν

113. [Was ist eine Plinthis?]

Plinthis aber ist ein solches, das die Länge kleiner hat als die Breite und Tiefe, diese aber zuweilen unter sich gleich.

114. [Was ist ein Spheniskos?]

Spheniskos aber ist ein solches, das Länge, Breite und Tiefe unter sich ungleich hat. Einige nennen diese Figur auch Altarchen.

115. [Zwischen welchen und wieviele Berührungen gibt es bei den Figuren?]

Eine Linie berührt eine Linie, eine Fläche und einen 1
Körper in einem Punkt und einer Linie. Ein Punkt aber, der einen Punkt rührt, wird eins damit. Und eine Linie, die ganz eine ganze Linie rührt, wird ebenfalls eins damit. Von einer Geraden aber wird gesagt, daß sie einen Kreis berührt, wenn sie den Kreis rührt und verlängert auf keiner Seite den Kreis schneidet. Von Kreisen aber wird gesagt, daß sie einander berühren, wenn sie sich rühren, ohne sich zu schneiden.

Senkrecht aber auf eine Ebene ist eine Gerade, wenn 2
sie mit allen Geraden, die sie in derselben Ebene rühren, rechte Winkel bildet.

Eine Ebene aber ist senkrecht auf eine Ebene, wenn 3
die Geraden, die in einer der Ebenen auf die gemeinsame Schnittlinie senkrecht gezogen werden, auch auf die andere senkrecht sind.

Parallele Ebenen aber sind die nicht zusammenfallenden. 4

116. [Von gleichen und ähnlichen Figuren.]

Sowohl bei Körpern als bei Ebenen und auch schon bei

φρέατι C. 11 *μείουρα*] Martin, *μύουρα* CF. 12 *κώνους*] Martin, *κόνου* C, *κώνου* F. 14 *διοπτείας*] scripsi, *διόπτρας* CF, *διοπτρείας* Martin. *χωρίων*] F, *χωρίον* C. 17 *διοπτείαις*] *διοπτίαις* CF, *διοπτρείαις* Martin. 20 *γεωδαίτης*] Hultsch, *γεωδέτης* CF. 21 *ἡλίου*] F, *-ου* in ras. C. 22 *ἢ* (alt.)] F, *ἢ̃*, mg. uocabulum obscurum C. 23 *σωματικότεραι* F. 24 *στάθμης*] e corr. F, *στάθμοις* CF. *γεωδαίτης*] Hultsch, *γεωδέτης* CF. 25 *ἀφεστῶτα*] Hultsch, *ἐφεσ^α* CF.

ὅσα τοιαῦτα. ἔτι ἡ γεωδαισία ποιεῖται τὰς διαιρέσεις οὐ μόνον εἰς ἰσότητας, ἀλλὰ καὶ κατὰ λόγους καὶ ἀναλογίας, ἔστι δ' ὅτε καὶ κατὰ τὴν τῶν χωρίων ἀξίαν.

9 Ὅτι αἱ πρὸς ὄμμα τε καὶ ὀρθογώνιοι στοαὶ πόρρωθεν μείουροι φαίνονται καὶ τῶν πύργων οἱ τετράγωνοι στρογγύλοι καὶ προσπίπτοντες πόρρωθεν ὁρώμενοι, ἄνισά τε τὰ ἴσα φατνώματα παρὰ τὰς θέσεις καὶ τὰ μήκη.

10 CFG(J) Ὅτι ὑποτίθεται ἡ ὀπτικὴ τὰς ἀπὸ τοῦ ὄμματος ὄψεις κατ' εὐθείας γραμμὰς φέρεσθαι, καὶ τοῦ ὄμματος περιφερομένου συμπεριφέρεσθαι καὶ τὰς ὄψεις, καὶ ἅμα τῷ ὄμματι διανοιγομένῳ πρὸς τὸ ὁρώμενον γίνεσθαι τὰς ὄψεις. καὶ καθ' ἕτερον δὲ τρόπον ὑποτίθεται τὰ μὲν δι' αἰθέρος καὶ ἀέρος ὁρώμενα κατ' εὐθείας γραμμὰς ὁρᾶσθαι· φέρεσθαι γὰρ πᾶν φῶς κατ' εὐθείας γραμμάς· ὅσα δὲ διαφαίνεται δι' ὑέλων ἢ ὑμένων ἢ ὕδατος, κατὰ κεκλασμένας, τὰ δὲ φαινόμενα ἐν τοῖς κατοπτρίζουσι κατὰ ἀνακλωμένας [γωνίας].

11 Ὅτι οὔτε φυσιολογεῖ ἡ ὀπτικὴ οὔτε ζητεῖ, εἴτε ἀπόρροιαί τινες ἐπὶ τὰ πέρατα τῶν σωμάτων φέρονται ἀπὸ τῶν ὄψεων ἀκτίνων ἐκχεομένων, εἴτε ἀπορρέοντα εἴδωλα ἀπὸ τῶν αἰσθητῶν εἴσω τῶν ὄψεων εἰσδύεται κατὰ στάθμην ἐνεχθέντα, εἴτε συνεκτείνεται ἢ συστρέφεται ὁ μεταξὺ ἀὴρ τῷ τῆς ὄψεως αὐγοειδεῖ πνεύματι, μόνον δὲ σκοπεῖ, εἰ σώζεται καθ' ἑκάστην ὑπόθεσιν ἡ

1 γεωδαισία] Martin, γεωδεσία CF. 4 ὄμμα τε] Hultsch, μμα τε C, μματι F. 5 μείουροι] F, μύουροι C. 6 στρογγύλοι] F, στρογγύλη C. 10 ὄψεις—ὄμματος] G, om. CF. 11 περιφερομένου] e corr. J, συμπεριφερομένου CFG, m. 1 J. 12 τὸ] CG, τῷ F. ὁρώμενον] G, ὁρομένων C, ὁρωμένῳ F. γίνεσθαι τὰς ὄψεις] CF, τὰς ὄψεις γίνεσθαι G. 13 δὲ] om. G. 15 ὁρᾶσθαι] G, mg. F, corr. ex ὁρᾶσθε C. φέρεσθαι—16 γραμμάς]

Tiefen von Flüssen und dergleichen. Ferner macht die Geodäsie die Teilungen nicht nur nach Gleichheit, sondern auch nach Verhältnissen und Proportionen, zuweilen aber auch nach dem Werthe der Grundstücke.

Die auf das Auge zulaufenden und rechtwinkligen 9
Säulenhallen erscheinen aus der Ferne nach hinten verjüngt, und viereckige Türme, aus der Ferne gesehen, rund und gegen den Beschauer geneigt, und die gleichen Kassetten ungleich je nach Lage und Ausdehnung.

Die Optik setzt voraus, daß die vom Auge ausgehenden 10
Sehestrahlen sich nach geraden Linien bewegen, und daß, wenn das Auge sich herumbewegt, auch die Sehestrahlen sich mit herumbewegen, und daß die Sehestrahlen das Gesehene treffen, sobald das Auge sich öffnet. Aber auch auf andere Weise setzt sie voraus, daß, was durch den Äther und die Luft gesehen wird, nach geraden Linien gesehen werde (denn alles Licht bewege sich nach geraden Linien), was aber durch Glas oder Membrane oder Wasser durchscheint, nach gebrochenen, und was in spiegelnden Gegenständen erscheint, nach zurückgeworfenen.

Die Optik beschäftigt sich nicht mit physikalischen 11
Fragen und untersucht nicht, ob gewisse Ausflüsse nach den Umrissen der Körper ausgehen, indem Strahlen von den Augen sich ergießen, oder ob Bilder, die sich von den sinnlichen Gegenständen ablösen, in die Augen eindringen, indem sie sich nach der Richtschnur bewegen, oder ob die dazwischen liegende Luft mit der strahlenartigen Ausdünstung des Auges sich dehnt oder zusammengepreßt wird; sie achtet nur darauf, ob bei jeder Annahme die gerade Richtung der Bewegung oder Spannung gewahrt wird so

---

CG, mg. F. 16 *ὑμένων καὶ ὑέλλων* G. 17 *ὑμένων*] J, *ὑλίων* CF. 18 *γωνίας*] del. Schöne. 20 *πέρατα τῶν σωμάτων*] G, *πέρα* CF. *φέρονται*] G, *φέροντες σώματα* CF. 21 *ἀπὸ*] CF, om. G. *ὄψεων*] CF, *ὀπτικῶν* G. *ἐκχεομένων*] FG, *ἐγχεωμένων* C. *ἀπορρέοντα*] FG, *ἀπορραίοντα* C. 23 *εἴτε*] C, *οὔτε εἰ* FG. *συστρέφεται*] Hultsch, *συνστρέφεται* B, *συντρέφεται* CF, *συμφέρεται* G. 24 *αὐγοειδεῖ*] FG, *αὐγοειδῆ* C.

ἰθυτένεια τῆς φορᾶς ἢ τάσεως καὶ τὸ κατὰ τὴν συναγωγὴν εἰς γωνίαν τὴν σύννευσιν γίνεσθαι, ἐπειδὰν μειζόνων ἢ ἐλαττόνων ὄψεως ᾖ θεωρία. προηγουμένως τε σκέπτεται, ὡς ἀπὸ παντὸς [τῆς κόρης ἢ τοῦ ὁρωμένου] μέρους ἡ ὄψις ἐγγίνεται, οὐχὶ δὲ ἀπό τινος ὡρισμένου σημείου, καὶ ὅτι κατὰ γωνίαν ὁτὲ μὲν εἴσω νενευκυῖαν, ὁτὲ δὲ ἔξω κορυφουμένην, ὁτὲ δὲ κατὰ παραλλήλους.

12 *Ὀπτικῆς μέρη λέγοιτο μὲν ἂν κατὰ τὰς διαφόρους ὕλας καὶ πλείω, τὰ δὲ γενικώτατα τρία τὸ μὲν ὁμωνύμως τῷ ὅλῳ καλούμενον ὀπτικόν, τὸ δὲ κατοπτρικόν, τὸ δὲ σκηνογραφικόν. κατοπτρικὸν δὲ λέγεται ὁλοσχερέστερον μὲν τὸ περὶ τὰς ἀνακλάσεις τὰς ἀπὸ τῶν λείων, οὐ μόνον περὶ ἓν κάτοπτρον, ἔστι δ' ὅτε καὶ περὶ πλείω στρεφόμενον, ἔτι μὴν καὶ περὶ τὰ ἐν ἀέρι δι' ὑγρῶν ἐμφαινόμενα χρώματα, ὁποῖά ἐστι τὰ κατὰ τὰς ἴριδας· ἕτερον δὲ τό τε θεωροῦν τὰ συμβαίνοντα περὶ τὰς τοῦ ἡλίου ἀκτῖνας ἔν τε κλάσει καὶ φωτισμοῖς αὐτοῖς καὶ σκιαῖς, οἷον ὁποία τις ἡ διορίζουσα γραμμὴ τὴν σκιὰν ἐν ἑκάστῳ σχήματι γίνεται, καὶ τὸ περὶ τὰ πυρεῖα προσαγορευόμενον σκοποῦν περὶ τῶν κατὰ ἀνάκλασιν συνιουσῶν ἀκτίνων, αἳ κατὰ σύννευσιν ἀθρόαν τῆς τοῦ φωτὸς ἀνακλάσεως παρὰ τὴν ποιὰν κατασκευὴν τοῦ κατόπτρου εἰς ἓν συνιοῦσαι ἢ κατὰ γραμμὴν εὐθεῖαν ἢ κυκλοτερὲς ἐκπυροῦσί τινα τόπον. αὗται δ' αἱ θεωρίαι τὰς αὐτὰς ὑποθέσεις ἔχουσαι τῇ περὶ τὰς ὄψεις τὸν αὐτὸν ἐκείνῃ τρόπον ἐφοδεύονται· ὁποία γὰρ ἡ τῶν ὄψεων πρόπτωσις, τοιοῦτος καὶ ὁ καταφωτισμὸς*

1 *τάσεως*] CF, *στάσεως* G. *τὸ*] G, *τῷ* CF. 2 *σύννευσιν*] G, *σύνευσιν* CF. *γίνεσθαι*] FG, *γίγνεσθαι* C. 4 *τῆς*—5 *ὁρωμένου*] mg. J, om. CF, *τῆς κόρης* G. 7 *κορυφουμένην*] G,

wie auch die Anforderung, daß das Zusammenlaufen im Sammelpunkt in einem Winkel geschieht, wenn Gegenstände betrachtet werden, die größer oder kleiner sind als das Auge. Und vor allem überlegt sie, daß das Sehbild von jedem Teil aus entsteht, nicht von irgendeinem bestimmten Punkt aus, und in einem Winkel, der bald nach innen konvergiert, bald nach außen sich zuspitzt, bald auch nach Parallelen.

Von der Optik könnte man auch mehr Teile benennen 12
nach den verschiedenen Materien, die wesentlichen aber sind die folgenden drei: einer, der mit demselben Namen wie das Ganze benannt wird, die Optik, ein anderer die Katoptrik, ein dritter die Skenographie. Katoptrik aber nennt man allgemeiner die Lehre von der Zurückwerfung von glatten Gegenständen; sie beschäftigt sich nicht mit einem Spiegel allein, sondern manchmal auch mit mehreren, sowie ferner auch mit den Farben, die sich in der Luft durch Feuchtigkeit zeigen, wie die des Regenbogens sind; ein anderer Teil aber ist die Untersuchung der Erscheinungen bei den Sonnenstrahlen in bezug auf Brechung und sowohl die Beleuchtungen selbst als die Schatten, z. B. von welcher Art die Linie wird, die bei jeder Figur den Schatten begrenzt, ferner die sogenannte Lehre von den Brennspiegeln, die von den durch Zurückwerfung zusammenlaufenden Strahlen handelt, welche durch gesammelte Konvergenz des zurückgeworfenen Lichts wegen einer gewissen Konstruktion des Spiegels zusammenlaufen und eine gewisse Stelle verbrennen entweder nach einer geraden Linie oder kreisförmig. Diese Untersuchungen aber haben dieselben Voraussetzungen als die

---

κορυφουμένη CF. 10 *γενικώτερα* F. *τρία*] G, *τὰ τρία* CF. 12 Ante *κατοπτρικὸν δὲ* lac. statuit Schöne, *καὶ κατοπτρικὸν μὲν* G. 14 *ἔστι δ'*] CF, *ἀλλ' ἔστιν* G. 15 *περὶ* (alt.)] G, om. CF. 16 *χρώματα*] G, *χρήματα* CF. 21 *σκοπουν*] CF, *τὸ σκοπουν* G. 22 *σύννευσιν*] G, *σύνευσιν* CF. 24 *συνιοῦσαι*] G, *συνιοῦσα* CF. *ἢ*] CF, *καὶ* G. *εὐθεῖαν*] FG, *εὐθεῖα* C. 25 *ἢ κυκλοτερὲς*] CF, *αἱ κυκλοτερεῖς* G. *δ'*] CG, *δὲ* F. 26 *τῇ*] CF, *ταῖς* G. 27 *ἐκείνῃ*] CF, *ἐκείναις* G.

ὑπὸ τοῦ ἡλίου γίνεται, καὶ τότε μὲν κατ᾽ εὐθείας ἀκλάστους, τότε δὲ κατὰ δυομένας, ὥσπερ ἐπὶ τῶν ὑέλων· κατακλώμεναι γὰρ καὶ εἰς ἓν συννεύουσαι ἐξάπτουσι παρὰ τὰ ποιὰ σχήματα· τότε δὲ κατὰ ἀνάκλασιν, ὥσπερ οἱ ἀχιλλεῖς φαίνονται ἐπὶ τῶν ὀροφῶν· ὥς τε ἀπὸ πάσης τῆς ὄψεως ἡ θεωρία, καὶ ἀπὸ παντὸς μέρους τοῦ ἡλίου ὁ φωτισμὸς γίνεται. ἡ δ᾽ ἐπὶ τῶν ὑδάτων καὶ τῶν ὑμένων τὰ κατὰ διάδυσιν θεωροῦσα ὀπτικὴ ἐλάττω μὲν θεωρίαν ἔχει, αἰτιολογεῖ δὲ τὰ ὑπὸ τοῖς ὕδασι καὶ ὑμέσι καὶ ὑέλοις, ὁπότε διασπαραττόμενα φαίνεται τὰ ἡνωμένα καὶ σύνθετα τὰ ἁπλᾶ καὶ τὰ ὀρθὰ κεκλασμένα καὶ τὰ μένοντα κινούμενα.

13 *Τί τὸ σκηνογραφικόν;*

Τὸ σκηνογραφικὸν τῆς ὀπτικῆς μέρος ζητεῖ, πῶς προσήκει γράφειν τὰς εἰκόνας τῶν οἰκοδομημάτων· ἐπειδὴ γὰρ οὐχ, οἷά ἐστι τὰ ὄντα, τοιαῦτα καὶ φαίνεται, σκοποῦσιν, πῶς μὴ τοὺς ὑποκειμένους ῥυθμοὺς ἐπιδείξονται, ἀλλ᾽, ὁποῖοι φανήσονται, ἐξεργάσονται. τέλος δὲ τῷ ἀρχιτέκτονι τὸ πρὸς φαντασίαν εὔρυθμον ποιῆσαι τὸ ἔργον καί, ὁπόσον ἐγχωρεῖ, πρὸς τὰς τῆς ὄψεως ἀπάτας ἀλεξήματα ἀνευρίσκειν, οὐ τῆς κατὰ ἀλήθειαν ἰσότητος ἢ εὐρυθμίας, ἀλλὰ τῆς πρὸς ὄψιν στοχαζομένῳ. οὕτω γοῦν τὸν μὲν κύλινδρον κίονα, ἐπεὶ κατεαγότα ἔμελλε θεωρήσειν κατὰ μέσα πρὸς ὄψιν στενούμενον, εὐρύτερον κατὰ ταῦτα ποιεῖ, καὶ τὸν μὲν κύκλον ἔστιν ὅτε οὐ κύκλον γράφει, ἀλλ᾽

1 et 2 τότε] CF, ποτέ G. 2 δυομένας] CF, διαδυομένας G. 3 συννεύουσαι] G, συνεύουσαι CF. 4 παρὰ] CF, περὶ G. τότε] CF, ποτέ G. 6 ὥς τε] ὥστε ἡ CF, ὥστ᾽ G. τῆς] CF, om. G. ἡ] G, om. CF. 7 δ᾽] CF, δὲ G. 8 διάδυσιν] G, διαδύον CF. 10 ὑπὸ] CF, ἐν G. ὑέλοις] FG, ὑάλοις C.

Lehre von den Sehestrahlen und befolgen dieselbe Methode wie jene; denn wie die Ausstrahlung der Sehestrahlen, so geschieht auch die Beleuchtung durch die Sonne, und zwar bald nach ungebrochenen Geraden, bald nach durchdringenden, wie bei Glas (denn indem sie gebrochen werden und zusammenlaufen, zünden sie an je nach der Beschaffenheit der Formen), bald aber durch Zurückwerfung, wie die Sonnenreflexe sich an den Decken zeigen; und wie das Sehen von dem ganzen Auge, so geht die Beleuchtung von jedem Teil der Sonne aus. Die Optik aber, welche bei Wasser und Membranen die Erscheinungen des Durchdringens untersucht, hat weniger theoretische Lehre, sucht aber für die unter Wasser, Membranen und Glas befindlichen Gegenstände zu begründen, wann das Zusammenhangende zerrissen, das Zusammengesetzte einfach, das Gerade gebrochen und das Ruhende bewegt erscheint.

Was ist Skenographie? 13

Der skenographische Teil der Optik untersucht, wie man die Bilder von Gebäuden malen soll; denn da die Dinge nicht so erscheinen, wie sie sind, überlegt man, wie man nicht die vorliegenden Verhältnisse aufzeigen soll, sondern sie so ausführen, wie sie erscheinen werden. Und Ziel des Architekten ist es, das Werk für die Erscheinung harmonisch zu machen und, soweit möglich, Gegenmittel zu erfinden gegen die Täuschungen des Auges, indem er nicht nach der wirklichen Gleichheit und Harmonie strebt, sondern nach der für das Auge erscheinenden. So bildet er die zylindrische Säule, da sie für das Auge in der Mitte verjüngt und daher gebrochen erscheinen würde, an dieser

14 CF, om. G. 15 *τὸ*] CF, *τὸ δὲ* G. 16 *τὰς εἰκόνας γράφειν* G. 17 *ἐπειδὴ γὰρ*] G, corr. ex *ἣ ἐπειδή* J, *ἢ ἐπειδή* CF. *οἷά*] Schöne, *οἷά τε* CFG. 18 *σκοποῦσιν*] G, om. CF. 19 *ἐπιδείξονται*] CF, *ἐπιδείξωνται* G. *ὁποῖοι*] FG, *ὁποῖον* C. *ἐξεργάσονται*] supra -o- scr. *ω* G, om. CF. 20 *ἀρχιτέκτονι*] FG, *ἀρχιτέκτωνι* C. *εὔρυθμον*] G, *εὔριθμον* CF. 21 *ὁπόσον*] CG, *ὁπόσου* F. 23 *εὐρυθμίας*] G, *εὐριθμίας* CF. 24 *στοχαζομένῳ*] CF, *στοχαζομένης* G. *κυλινδρικὸν* Schöne. 26 *καὶ τὸν μὲν*] CF, *τὸν δὲ* G. 27 *οὐ*] G, om. CF. *γράφει*] FG, *γράφειν* C.

ὀξυγωνίου κώνου τομήν, τὸ δὲ τετράγωνον προμηκέστερον καὶ τοὺς πολλοὺς καὶ μεγέθει διαφέροντας κίονας ἐν ἄλλαις ἀναλογίαις κατὰ πλῆθός τε καὶ μέγεθος. τοιοῦτος δ' ἐστὶ λόγος καὶ ὁ τῷ κολοσσοποιῷ διδοὺς τὴν φανησομένην τοῦ ἀποτελέσματος συμμετρίαν, ἵνα πρὸς τὴν ὄψιν εὔρυθμος εἴη, ἀλλὰ μὴ μάτην ἐργασθείη κατὰ οὐσίαν σύμμετρος· οὐ γάρ, οἷά ἐστι τὰ ἔργα, τοιαῦτα φαίνεται ἐν πολλῷ ἀναστήματι τιθέμενα.

136, 1 CC^aFHN *Εὕρηται ἡ γεωμετρία πρῶτον μὲν ἐκ τῶν Αἰγυπτίων, ἤγαγε δὲ εἰς τοὺς Ἕλληνας Θαλῆς. μετὰ δὲ τὸν Θαλῆν Μαμέρτιος ὁ Στησιχόρου ποιητοῦ ἀδελφὸς καὶ Ἱππίας ὁ Ἠλεῖος καὶ μετὰ ταῦτα ὁ Πυθαγόρας ἄνωθεν τὰς ἀρχὰς αὐτῆς ἐπισκοπούμενος καὶ ἀύλως καὶ νοερῶς τὰ θεωρήματα διερευνώμενος καὶ μετὰ τοῦτον Ἀναξαγόρας καὶ ὁ Πλάτων καὶ Οἰνοπίδης ὁ Χῖος καὶ Θεόδωρος ὁ Κυρηναῖος καὶ Ἱπποκράτης πρὸ τοῦ Πλάτωνος. μετὰ ταῦτα καὶ Λεωδάμας ὁ Θάσιος καὶ Ἀρχύτας ὁ Ταραντῖνος καὶ Θεαίτητος ὁ Ἀθηναῖος, Εὔδοξος ὁ Κνίδιος· καὶ τρισὶν ἀναλογίαις ἄλλας τρεῖς προσέθηκε· καὶ ἄλλοι πολλοί. οὐ πολὺ δὲ τούτων νεώτερός ἐστιν ὁ Εὐκλείδης ὁ τὰ Στοιχεῖα συναγαγών, γέγονε δὲ οὗτος ἐπὶ τοῦ πρώτου Πτολεμαίου νεώτερος μὲν τοῦ Πλάτωνος, ἀρχαιότερος δὲ τοῦ Ἐρατοσθένους καὶ Ἀρχιμήδους· οὗτοι γὰρ σύγχρονοι ἀλλήλοις ἦσαν.*

136, 1 Proclus in Eucl. p. 64, 16 sqq. exstat etiam in C fol. 14^v—15^r (C^a).

---

1 *ὀξυγωνίου*] G, *ὀξυγώνιον* C, *ἑξαγώνιον* F. 4 *δ'*] C, *δὲ* FG. *ὁ*] addidi, om. CFG. 6 *εὔρυθμος*] G, *εὔριθμος* CF. 7 *κατὰ*] C, *κατὰ τὴν* FG. 10 *προοίμια τῆς γεωμετρίας* add. N. *μὲν*] CC^aF, om. HN. 11 *Ἕληνας* C^a. *Θαλῆς*] NH, *ὁ Θαλῆς*

Stelle dicker, und den Kreis zeichnet er zuweilen nicht als Kreis, sondern als Ellipse, das Quadrat gestreckt, und mehrere verschieden große Säulen in verschiedenen Proportionen nach Anzahl und Größe. Eine solche Berechnung ist es aber auch, die dem Verfertiger eines Kolossalwerks die scheinbare Verhältnismäßigkeit seiner Schöpfung an die Hand gibt, so daß sie für das Auge harmonisch ist und nicht vergeblich in wirklicher Verhältnismäßigkeit ausgeführt wird; denn Werke, die in großer Erhebung ausgeführt werden, erscheinen nicht so, wie sie sind.

Die Geometrie ist ursprünglich von den Ägyptern er- **136, 1**
funden worden, zu den Griechen aber brachte sie Thales. Auf Thales aber folgt Mamertios, Bruder des Dichters Stesichoros, und Hippias von Elis und dann Pythagoras, der ihre Grundlagen zurückverfolgte und die Sätze stofflos und mit dem reinen Gedanken untersuchte, und nach ihm Anaxagoras und Platon und Oinopides von Chios und Theodoros von Kyrene und Hippokrates vor Platon. Dann sosowohl Leodamas von Thasos als Archytas von Tarent und Theaitetos von Athen, Eudoxos von Knidos (der zu drei Proportionen drei andere hinzufügte) und viele andere. Nicht viel jünger aber als diese ist Eukleides, der die Elemente zusammengestellt hat; er blühte nämlich unter Ptolemaios dem ersten, jünger als Platon, aber älter als Eratosthenes und Archimedes; diese waren nämlich Zeitgenossen.

CC^{a}F. 12 *μαρμέτιος* F. *Στησιχόρου*] C^{a}NH, *Στησιχώρου* C, *στισιλόρου* F. Ante *ποιητοῦ* ins. *τοῦ* N^2. *Ἱππίας*] H, corr. ex *Ἱππίπας* N, *Ἱππίνας* CF, *Ἱππῆνας* C^a. 13 *Ἠλεῖος*] *Ἠ-* e corr. N. 16 *Οἰνοπίδης*] C, *οἰνόος* F, *Οἰνόπωλος* C^a, *Οἰνοπόλης* N, *Οἰνόπολις* H. *Χῖος*] CC^{a}F, *Ἄσιος* NH. 17 *Κυρηναῖος*] NH, *Κυριναῖος* CC^a et corr. ex *Κυρινεος* F. *μετὰ*] *καὶ μετὰ* H. 18 *καὶ* (pr.)] NH, *καὶ ὁ* CC^{a}F. *Λεωδάμας*] *Λεοδάμας* CC^{a}FNH. *Θάσιος*] NH, *Θάσεως* CF, *Θάσεος* C^a. 19 *ὁ* (pr.)] NH, om. CC^{a}F. *Εὔδοξος*] CC^{a}F, corr. ex *Εὐδόξιος* N, *Εὐδόξιος* H. *Κνίδιος*] NH, *Κνήδιος* CC^a, *Κνήσιος* F. 20 Supra *τρισὶν* add. *ταῖς* N^2.
να
ἀ λογίαις N. *προσέθηκε*] CC^a, *προσέθηκεν* FH, *περιέθηκε* N. 21 *τούτων*] C^{a}NH, *τοῦτο* CF. *νεώτερός*] NH, *νεώχωρος* CC^a, *νεόχωρος* F. 25 *σύγχρονοι*] corr. ex *σύγχρωνοι* C.

2 CFHN *Τὸ ὄνομα τῆς μαθηματικῆς καὶ τῶν μαθημάτων φαμὲν ταῖς ἐπιστήμαις ταύταις δεδόσθαι, καθ' ὃ πᾶσα καλουμένη μάθησις ἀνάμνησίς ἐστιν οὐκ ἔξωθεν ἐντεθειμένη τῇ ψυχῇ, ὡς τὰ ἀπὸ τῶν αἰσθητῶν φαντάσματα τυποῦνται ἐν τῇ φαντασίᾳ, οὐδὲ ἐπεισοδιώδης οὖσα, καθάπερ δοξαστικὴ γνῶσις, ἀλλ' ἀνεγειρομένη μὲν ἀπὸ τῶν φαινομένων, προβαλλομένη δὲ ἔνδοθεν ἀφ' ἑαυτῆς τῆς διανοίας εἰς ἑαυτὴν ἐπιστρεφομένης κατ' εἶδος· καὶ τὰς ἐπιστήμας αὐτῶν ἐν ἑαυτῷ προείληφε, κἂν μὴ ἐνεργῇ κατ' αὐτάς, ἔχει πάσας οὐσιωδῶς καὶ κρυφίως, προφαίνεται δ' ἑκάστη, ὅταν ἀφαιρεθῇ τὸ ἐμπόδιον τῶν ἐκ τῆς αἰσθήσεως· αἱ μὲν γὰρ αἰσθήσεις συνάπτουσιν αὐτὴν τοῖς μεριστοῖς, αἱ δὲ φαντασίαι ταῖς μορφωτικαῖς κινήσεσιν, αἱ δὲ ὀρέξεις περισπῶσιν εἰς τὸν ἐμπαθῆ βίον, πᾶν δὲ τὸ μεριστὸν ἐμπόδιόν ἐστιν τῆς εἰς ἑαυτοὺς ἡμῶν ἐπιστροφῆς.*

3 *Ἀριστοτέλης πού φησιν· ὅσοι καταφρονητικῶς ἔχουσι τῆς τῶν μαθημάτων γνώσεως, ἄγευστοι τυγχάνουσι τῶν ἐν αὐτοῖς ἡδονῶν, ὁ δὲ Πλάτων, καθαρτικὴν τῆς ψυχῆς καὶ ἀναγωγὸν τὴν μαθηματικὴν εἶναι σαφῶς.*

4 *Τὰ τῆς μαθηματικῆς εἴδη τῆς ἀμερίστου φύσεώς ἐστιν ἀπολειπόμενα καὶ τῆς μεριστῆς ὑπεριδρυμένα, καὶ τοῦ νοῦ μέν ἐστι δεύτερα, δόξης δὲ τελεώτερα καὶ ἀκριβέστερα καὶ καθαρώτερα.*

---

2 Proclus in Eucl. p. 44, 25 sqq. — 3 Proclus p. 28, 20 sqq. (Aristoteles Eth. Nicom. 1176[b] 19 coll. 1173[b] 16) et p. 29, 26 sqq. (Plato Respubl. 525 sqq.). — 4 Proclus p. 4, 7 sqq.

---

1 *Τὸ*] NH, *Τί τὸ* CF. 4 *φαντάσματα*] NH, *τὰ φαντάσματα* CF. 5 *τυποῦται* H. *ἐπεισοδιωδευτοῦσα* F. 6 *ἀνεξεγειρομένη* F. 8 *κατ' εἶδος*] NH, *κατεῖδον* CF; cfr. Proclus p. 45, 12 *κατειδότων*. non intellego. 9 *ἑαυτῇ* N. 10 *ἐνεργῇ*]

Wir sagen, daß der Name Mathematik und Mathemata diesen Wissenschaften gegeben ist, weil alles sogenannte Lernen Erinnerung ist, indem es nicht von außen in die Seele hineingelegt wird, wie die von den sinnlichen Dingen ausgehenden Eindrücke in der Vorstellung sich bilden, und auch nicht äußerlich, wie eine nur auf Meinung gegründete Erkenntnis, sondern zwar hervorgerufen von den Erscheinungen, aber erzeugt aus dem Innern von sich selbst, indem das Denkvermögen in sich zurückkehrt seinem Wesen nach; und es*) beschließt in sich im voraus die Begriffe davon, und wenn es auch nicht sich darin betätigt, hat es sie doch alle in sich dem Wesen nach und verborgen, und jeder kommt zum Vorschein, sobald das in den sinnlichen Eindrücken liegende Hindernis entfernt wird; denn die Sinnen verknüpfen sie**) mit dem Teilbaren, die Vorstellungen aber mit den Bewegungen der Form, und die Triebe ziehen sie auf das leidenschaftliche Leben ab, alles Teilbare aber ist ein Hindernis für unser Zurückkehren in uns selbst. 2

Aristoteles sagt irgendwo: alle, die die Kenntnis der Mathematik verachten, haben nie ihre Freuden gekostet, und Platon sagt, daß die Mathematik offenbar für die Seele reinigend und erhebend ist. 3

Die mathematischen Begriffe bleiben hinter dem unteilbaren Wesen zurück, stehen aber über dem Teilbaren; sie sind geringer als der reine Gedanke, aber vollkommener, exakter und reiner als die Meinung. 4

*) Sc. τὸ διανοητικόν, u. Proclus p. 45, 22 sqq.
**) Sc. ἡ ψυχή, cfr. Proclus p. 45, 22.

FH, corr. ex ἐνεργεῖ N, ἐνεργεῖ C. 11 προφαίνεται] scripsi, cfr. Proclus p. 46, 1; προφαινομένη CFHN. δ' ἑκάστη] scripsi, cfr. Proclus l. c.; δὲ καὐτή NH, δὲ αὐτή CF. 13 δὲ] Proclus l. c., om. CFHN. ταῖς μορφωτικαῖς] NH, τῶν μορφωτικῶν CF. 14 κινήσεσιν] N, κινήσεσι H, κινήσεων CF, κινήσεων ἀναπιμπλᾶσιν Proclus. εἰς] NH, αὐτὴν εἰς CF. 15 ἐστιν] N, ἐστι CFH. 16 ἑαυτοὺς ἡμῶν] CF, ἑαυτοῦ σημεῖον NH. 19 ἐν αὐτοῖς] C, ἑαυτῆς F, ἐν ἑαυτοῖς NH. 20 εἶναι] εἶπεν H. σαφῆ N. 22 εἰσιν H.

5 *Εἰς ἕνωσιν καὶ διάκρισιν τῶν ὅλων τὴν ταυτότητα μετὰ τῆς ἑτερότητος εἰς τὴν τῆς ψυχῆς συμπλήρωσιν ὁ δημιουργὸς παρείληφε καὶ πρὸς ταύταις στάσιν καὶ κίνησιν· ἐκ τούτων αὐτὴν τῶν γενῶν ὑπέστησεν. λεκτέον, ὅτι κατὰ τὴν ἑτερότητα αὐτῆς καὶ τὴν διαίρεσιν τῶν λόγων καὶ τὸ πλῆθος ἡ διάνοια στᾶσα καὶ νοήσασα ἑαυτὴν ἓν καὶ πολλὰ οὖσαν τοὺς ἀριθμοὺς προβάλλει καὶ τὴν τούτων γνῶσιν τὴν ἀριθμητικήν, κατὰ δὲ τὴν ἕνωσιν τοῦ πλήθους καὶ τὴν πρὸς ἑαυτὸ κοινωνίαν καὶ σύνδεσμον τὴν μουσικήν, ἐπεὶ καὶ ἡ ψυχὴ διαιρεῖται πρῶτον δημιουργικῶς, εἶθ᾽ οὕτως συνδέδεται τοῖς λόγοις. καὶ αὖ πάλιν κατὰ μὲν τὴν στάσιν τὴν ἐν αὐτῇ τὴν ἐνέργειαν ἱδρύσασα γεωμετρίαν ἀφ᾽ ἑαυτῆς ἐξέφηνε, κατὰ δὲ τὴν κίνησιν τὴν σφαιρικήν.*

6 *Ἀξίωμά ἐστι κατὰ τὸν Ἀριστοτέλην, ὅταν μὲν καὶ τῷ μανθάνοντι γνώριμον ᾖ καὶ καθ᾽ αὑτὸ πιστὸν τὸ παραλαμβανόμενον εἰς ἀρχήν, οἷον τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα· ὅταν δὲ μὴ ἔχῃ ἔννοιαν ὁ ἀκούων τοῦ λεγομένου τὴν αὐτόπιστον, πείθεται δὲ ὅμως καὶ συγχωρεῖ τῷ λαμβάνοντι, τὸ τοιοῦτον ὑπόθεσίς ἐστι· τὸ γὰρ εἶναι τὸν κύκλον σχῆμα τοιόνδε κατὰ κοινὴν μὲν ἔννοιαν οὐ προείληφεν ἀδιδάκτως, ἀκούσας δὲ συγχωρεῖ χωρὶς ἀποδείξεως.*

7 *Πᾶσά γε μὴν εἰς τὸ ἀδύνατον ἀπαγωγὴ λαβοῦσα τῷ ζητουμένῳ τὸ μαχόμενον καὶ τοῦτο ὑποθεμένη πρό-*

5 Proclus p. 36, 13 sqq. — 6 Proclus p. 76, 8 sqq. (Aristoteles Anal. post. 76^b 27 sqq.). — 7 Proclus p. 255, 8 sqq.

3 *πρὸς*] *τὴν* N. *ταύτας* H. 4 *ὑπέστησεν*] NH, *ὑπέστησε* CF. 5 *κατὰ τὴν*] H, *τὴν* CFN. 7 *ἓν καὶ πολλὰ*] N, *ἓν πολλὰ* H, *ἐν πολλοῖς* CF. *τοὺς*] *καὶ τοὺς* H. 8 *ἡ ἀριθμητική* H. 9 *ἑαυτὸ*] HN, *ἑαυτὸν* F, *ἑαυτὴν* C. 10 *ἐπεὶ*] om. F. 11 *οὕτω* H. 12 *αὖ*] *ὧν* F. 13 *ἱδρύσασα*] CF,

Zur Einigung und Trennung des Ganzen hat der Demiurg zur Vervollständigung der Seele die Identität und die Heterogenität mitgenommen und außerdem Ruhe und Bewegung; aus diesen Bestandteilen hat er sie erschaffen. Man muß sagen, daß das Denkvermögen kraft ihrer Heterogenität, der Trennung der Begriffe und der Menge innehält und sich besinnt, daß es eins und vieles ist, und so die Zahlen erzeugt und die Kenntnis davon, die Arithmetik, kraft der Einigung der Menge dagegen und des inneren Zusammenhangs und Verknüpfung die Musik*), da auch die Seele zuerst geteilt wird bei der Tätigkeit des Demiurgen, dann darauf durch die Begriffe verbunden ist. Ferner hat sie dann kraft der ihr innewohnenden Ruhe die Geometrie hervorgehen lassen, indem sie die Energie festlegte, kraft der Bewegung aber die Sphärik. 5

Axiom ist nach Aristoteles, wenn das als Grundlage Herangezogene auch dem Lernenden verständlich ist und an sich glaublich, z. B. daß, was demselben gleich ist, auch unter sich gleich ist; wenn aber der Zuhörer nicht die selbsteinleuchtende Vorstellung von dem Gesagten hat, aber dennoch sich überreden läßt und dem Postulierenden sich fügt, so ist das Hypothesis; denn daß der Kreis eine Figur von der und der Beschaffenheit ist, hat er nicht von vornherein ohne Belehrung kraft einer allgemeinen Vorstellung begriffen, wenn er es aber gehört hat, gibt er es zu ohne Beweis. 6

Jede Zurückführung auf ein Unmögliches nimmt, was dem Gesuchten widerstreitet, und stellt das als Annahme 7

*) Daher geht die Arithmetik der Musik voraus. Proclus p. 36, 24.

ἱδρύσασαν NH. ἀφ'] ἐφ' F. 15 Ἀριστοτέλη F. 17 παραλαμβανόμενον] πᾶν λαμβανόμενον N. τῷ αὐτῷ] NH, τῶν αὐτῶν F et comp. C. 18 ἴσα] mg. F, corr. ex εἴσα C. ἔχῃ] ἔχει C. ὁ] supra scr. N. 20 συγχωρεῖ] mut. in συγχωρῇ N. ἐστιν H. 21 τὸν κύκλον] τὸ N. 22 οὐ] om. F. προείληφεν] scripsi coll. Proclo p. 76, 16; περιείληφεν NCF, παρείληφεν H. 24 ἀπαγωγὴ] NH, om. CF. 15 τοῦτο ὑποθεμένη] NH, τοῦ ὑποθεμένου CF.

εισιν, ἕως ἂν εἰς ὁμολογούμενον ἄτοπον καταντήσῃ καὶ δι' ἐκεῖνο τὴν ὑπόθεσιν ἀνελοῦσα βεβαιώσηται τὸ ἐξ ἀρχῆς ζητούμενον. ὅλως γὰρ εἰδέναι χρή, ὅτι πᾶσαι αἱ μαθηματικαὶ πίστεις ἢ ἀπὸ τῶν ἀρχῶν εἰσιν ἢ ἐπὶ τὰς ἀρχάς, ὥς πού φησι καὶ ὁ Πορφύριος. αἱ μὲν ἀπὸ τῶν ἀρχῶν διτταὶ καὶ αὐταὶ τυγχάνουσιν· ἢ γὰρ ἀπὸ τῶν κοινῶν ἐννοιῶν ὥρμηνται καὶ τῆς ἐναργείας μόνης τῆς αὐτοπίστου ἢ ἀπὸ τῶν προδεδειγμένων· αἱ δὲ ἐπὶ τὰς ἀρχὰς ἢ θετικαὶ τῶν ἀρχῶν εἰσιν ἢ ἀναιρετικαί. ἀλλὰ θετικαὶ μὲν οὖσαι τῶν ἀρχῶν ἀναλύσεις καλοῦνται, καὶ ταύταις αἱ συνθέσεις ἀντίκεινται· δυνατὸν γὰρ ἀπὸ τῶν ἀρχῶν ἐκείνων προελθεῖν εὐτάκτως ἐπὶ τὸ ζητούμενον, καὶ τοῦτό ἐστιν ἡ σύνθεσις. ἀναιρετικαὶ δὲ οὖσαι εἰς ἀδύνατον ἀπαγωγαὶ προσαγορεύονται· τὸ γὰρ τῶν ὡμολογημένων τι καὶ ἐναργῶν ἀνατρέψαι ταύτης ἔργον τῆς ἐφόδου. καὶ ἔστι καὶ ἐπὶ ταύτης συλλογισμός τις, ἀλλ' οὐχ ὁ αὐτὸς ὥσπερ καὶ ἐπὶ τῆς ἀναλύσεως· ἐν γὰρ ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς ἡ πλοκὴ κατὰ τὸν δεύτερόν ἐστι τῶν ὑποθετικῶν, οἷον· εἰ μή εἰσι τῶν ἴσας ἐχόντων γωνίας τριγώνων αἱ ὑποτείνουσαι πλευραὶ τὰς ἴσας γωνίας ἴσαι, τὸ ὅλον ἴσον ἐστὶ τῷ μέρει· ἀλλὰ τοῦτο ἀδύνατον· εἰσὶν ἄρα τῶν ἴσας ἐχόντων δύο γωνίας τριγώνων αἱ ὑποτείνουσαι πλευραὶ τὰς ἴσας γωνίας καὶ αὐταὶ ἴσαι.

8 Ἰστέον, ὅτι ὁ περὶ ἓν σημεῖον τόπος εἰς τέτρασιν ὀρθαῖς ἴσας γωνίας διανέμεται, καὶ μόνα ταῦτα τὰ τρία πολύγωνα πληροῦν δύνανται τὸν περὶ ἓν σημεῖον ὅλον

8 Proclus p. 304, 12 sqq.

1 ἕω H. 4 ἢ (alt.)] supra scr. H. 5 ὥς πού] NH, ὥσπερ CF. α´ mg. N. 7 ἐνοιῶν F. ἐναργείας] Proclus, ἐνεργείας CNH, συνεργείας F. 8 β´ mg. N. 10 ἀναλύσεις]

auf und geht so weiter, bis sie einem anerkannten Widersinn begegnet und, indem sie dadurch die Annahme aufhebt, so das ursprünglich Gesuchte bestätigt. Überhaupt muß man wissen, daß alle mathematische Beweise entweder von den Grundlagen ausgehen oder auf sie hin sich bewegen, wie auch Porphyrios irgendwo sagt. Die von den Grundlagen ausgehenden sind wiederum von zweifacher Art; entweder gehen sie nämlich von den allgemeinen Vorstellungen und der selbsteinleuchtenden Klarheit allein aus oder von dem vorher Bewiesenen; die auf die Grundlagen hin sich bewegenden aber ponieren entweder die Grundlagen oder heben sie auf. Aber wenn sie die Grundlagen ponieren, heißen sie Analysen, und ihr Gegensatz sind die Synthesen; denn es ist möglich von jenen Grundlagen aus schrittweise zu dem Gesuchten fortzuschreiten, und dies ist die Synthese. Wenn sie aber die Grundlagen aufheben, werden sie Zurückführung auf ein Unmögliches genannt; denn diese Methode hat die Aufgabe eine feststehende und einleuchtende Wahrheit umzuwerfen. Und auch bei dieser ergibt sich ein Syllogismus, aber nicht derselbe als bei der Analyse; denn bei der Zurückführung auf ein Unmögliches geschieht die Verkettung nach dem zweiten der hypothetischen Syllogismen, z. B.: wenn in Dreiecken, die zwei gleiche Winkel haben, die den gleichen Winkeln gegenüberstehenden Seiten nicht gleich sind, ist das Ganze einem Teil gleich [Eukl. I 6]; das ist aber unmöglich; also sind in Dreiecken, die zwei Winkel gleich haben, die den gleichen Winkeln gegenüberstehenden Seiten ebenfalls gleich.

Man muß wissen, daß der Raum um einen Punkt in 8
Winkel geteilt wird, die 4 R gleich sind, und daß nur die

NH, ἀναγνώσεις CF. 12 προελθεῖν] προστεθεῖναΐ F. 14 ἀπ̈ογωγαὶ F. ἐξαγορεύονται N. 15 ὡμολογημένων] NH, ὁμολογημένων C, ὁμολογουμένων F. ἀνατρέψαι] CF, ἀντιτρέψαι N, ἀναστρέψαι H. 16 ἔστι καὶ] NH, ἔστι C, ἔστιν F. 18 ἀπογογαῖς F. 19 ἐστιν H. 21 ἴσον] om. F. 24 ἴσαι καὶ αὗται H. 27 δύνανται] C, δύναται F, δυνάμενα NH.

τόπον, τὸ ἰσόπλευρον τρίγωνον καὶ τὸ τετράγωνον καὶ τὸ ἑξάγωνον τὸ ἰσόπλευρον καὶ ἰσογώνιον· ἀλλὰ τὸ μὲν ἰσόπλευρον τρίγωνον ἑξάκις παραληφθέν· ἓξ γὰρ δίμοιρα ποιήσει τὰς τέσσαρας ὀρθάς· τὸ δὲ ἑξάγωνον τρὶς γενόμενον· ἑκάστη γὰρ ἑξαγωνικὴ γωνία ἴση ἐστὶ μιᾷ ὀρθῇ καὶ τρίτῳ· τὸ δὲ τετράγωνον τετράκις· ἑκάστη γὰρ τετραγωνικὴ γωνία ὀρθή ἐστιν. ἓξ οὖν ἰσόπλευρα τρίγωνα συννεύσαντα κατὰ τὰς γωνίας τὰς τέσσαρας ὀρθὰς συμπληροῖ· τὰ δὲ λοιπὰ πολύγωνα ἢ πλεονάζει ἢ ἐλλείπει τῶν τεσσάρων ὀρθῶν, μόνα δὲ ταῦτα ἐξισοῦται κατὰ τοὺς εἰρημένους ἀριθμούς.

9 Ἀπὸ τῆς προτεθείσης εὐθείας τετράγωνον ῥητὸν λέγει ὁ Εὐκλείδης. προτεθεῖσα εὐθεῖα καλεῖται, ἥτις ἀρχὴ μέτρων καὶ οἱονεὶ κανὼν εἰς ἐκμέτρησιν ἡμῖν μηκῶν καθ' ὑπόθεσιν εἴληπται· οἷον, εἴ τις προτείνοι, πόσον εἴη τὸ μεταξὺ διάστημα ὑποκειμένων τινῶν σημείων, οὐδὲν ἂν ἔχοιμεν λέγειν, εἰ δὲ οὕτως πυνθάνοιτο, πόσων ἐστὶ ποδῶν ἢ πηχῶν, ἀναγκαίως ἂν δέοι πήχεως καὶ ποδὸς αἰτεῖν ἡμᾶς παρὰ τοῦ παρέχοντος πηλικότητα καὶ ἐκείνῃ χρωμένους τῇ προτεθείσῃ καὶ ῥητῇ εὐθείᾳ τὸ προτεθὲν διάστημα ἐξετάζειν, εἰ ἔστιν ὅλως ῥητῷ σύμμετρον.

10 Φανερὸν δέ, ὅτι ἡ ὀρθότης τῆς γωνίας τῇ ἰσότητι συγγενής ἐστιν, ὥσπερ ὀξύτης καὶ ἀμβλύτης τῇ ἀνισότητι, ὁμοίως δὲ ὁμοιότης τῷ πέρατι, ἡ δὲ ἀνομοιότης

9 Scholl. in Eucl. X nr. 21 p. 435, 5 sqq. — 10 Proclus p. 191, 5 sqq.

1 καὶ (pr.)—2 ἰσόπλευρον] om. H. 4 τέσσαρας] δ' C. 5 τρεῖς C. 5—6 ὀρθή ἐστι μία F. 7 ὀρθή] ἴση N. 8 Post τρίγωνα add. ἢ τέσσαρα τετράγωνα ἢ τρία ἑξάγωνα Martin; post συμπληροῖ lin. 9 similia habet Proclus p. 304, 25. συννεύσαντα] NH, συνεύσαντα CF. 9 συπληροῖ F. πολυγώνια F.

vier folgenden Vielecke den ganzen Raum um einen Punkt herum ausfüllen können: das gleichseitige Dreieck, das Quadrat und das gleichseitige und gleichwinklige Sechseck; das gleichseitige Dreieck 6 mal genommen; denn 6 mal $^2/_3$ R wird die 4 R ausmachen; das Sechseck aber 3 mal genommen; denn jeder Winkel eines Sechsecks ist $= 1^1/_3$ R; das Quadrat aber 4 mal; denn jeder Winkel eines Quadrats ist recht. Also füllen 6 gleichseitige Dreiecke, deren Winkel zusammenstoßen, die 4 R aus; die übrigen Vielecke aber ergeben entweder mehr oder weniger als 4 R, und die genannten allein stimmen genau nach den genannten Zahlen.

Ein Quadrat auf der vorgelegten Geraden beschrieben 9
nennt Eukleides rational [X def. 4]. Vorgelegte Gerade wird die genannt, welche als Grundlage der Maße und sozusagen als Richtschnur zum Vermessen von Längen hypothetisch von uns angenommen ist; wenn z. B. jemand die Frage stellen würde, wie groß die Entfernung ist zwischen gegebenen Punkten, würden wir nichts sagen können, wenn er aber so fragte, wieviel Fuß oder Ellen sie ist, müßten wir notwendig vom Fragesteller die Quantität einer Elle und eines Fußes verlangen und damit mittels der vorgelegten und rationalen Geraden die aufgegebene Entfernung prüfen, ob sie überhaupt mit der rationalen Größe kommensurabel ist.

Es ist aber klar, daß die Rechtheit des Winkels der 10
Gleichheit verwandt ist, wie Spitzheit und Stumpfheit der Ungleichheit, und ebenso Ähnlichkeit der Grenze, Unähn-

---

10 δὲ] om. F. ἐξισοῦνται F. 12 ἀπὸ] ἐπὶ H. 14 μέτρων] μετρεῖ ὢν N. 15 προτείνοι] Hasenbalg; cfr. schol. p. 435, 8; προτείνει CFNH. 16 εἴη] CF, ἢ εἰ NH. τινῶν] CF, τινῶν δύο NH. 17 ἔχοιμεν λέγειν] H, ἔχοιεν λέγειν N, om. CF. δὲ οὕτως] schol. p. 435, 9; δὲ ὄντως N, δεόντως CFH. 18 πηχῶν ἢ ποδῶν H. ἀναγκαίως] NH, ἀναγκαῖον CF. 19 πήχεως] NH, πηχ^ος C, πηχὸς F. 20 χρωμένη F. προτεθείσῃ] NH, προθέσει CF. 21 ἐξετάζειν] NH, ἐξετάζει CF. εἰ] CF, om. NH. 22 ῥητῶς F. σύμμετρον] schol. p. 435, 14; μέτρον NC, μέτρῳ H, κέντρον F. 24 ἐστι F. ὥσπερ] CFN, ὥσπερ ἢ H. 25 δὲ (pr.)] CFN, δὲ ἢ H.

ἀπειρίᾳ· ὅπερ γάρ ἐστιν ἐν ποσοῖς ἰσότης, τοῦτο ἐν τοῖς ποιοῖς ὁμοιότης.

11 *Τῶν εὐθυγράμμων γωνιῶν κατά τε πέρας καὶ ἀπειρίαν ὑφισταμένων ἀπὸ τοῦ πέρατος ἥκων λόγος τὴν ὀρθὴν ἀπετέλεσε γωνίαν μίαν ἰσότητι κρατουμένην ἀεὶ μήτε αὔξησιν μήτε μείωσιν ἐπιδεχομένην, ὁ δὲ ἀπὸ τῆς ἀπειρίας δεύτερος ὢν καὶ δυαδικὸς καὶ γωνίας ἀνέφηνε διπλᾶς περὶ τὴν ὀρθὴν ἀνισότητι διῃρημένας κατὰ τὸ μεῖζον καὶ ἔλασσον καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀπέραντον ἐχούσας κίνησιν τῆς μὲν ἀμβλυνομένης μᾶλλον καὶ ἧττον, τῆς δὲ ὀξυνομένης. διὰ δὴ ταῦτα καὶ τῶν θείων διακόσμων καὶ τῶν μερικωτέρων δυνάμεων τὰς μὲν ὀρθὰς γωνίας εἰς τοὺς ἀχράντους ἀναπέμπουσιν ὡς τῆς ἀκλίτου προνοίας τῶν δευτέρων αἰτίους· τὸ γὰρ ὀρθὸν καὶ ἀκλινὲς πρὸς τὸ χεῖρον καὶ ἄτρεπτον ἐκείνοις προσήκει τοῖς θείοις· τὰς δὲ ἀμβλείας καὶ ὀξείας τοῖς τῆς προόδου καὶ τοῖς τῆς κινήσεως καὶ τῆς ποικιλίας τῶν δυνάμεων χορηγοῖς ἀνεῖσθαι λέγουσι· τό τε γὰρ ἀμβλὺ τῆς ἐπὶ πᾶν ἁπλουμένης τῶν εἰδῶν ἐκτάσεώς ἐστιν εἰκών, καὶ τὸ ὀξὺ τῆς διαιρετικῆς καὶ κινητικῆς τῶν ὅλων αἰτίας ἀφομοίωσιν ἔλαχε. καὶ μὴν καὶ ἐν αὐτοῖς τοῖς οὖσι τῇ μὲν οὐσίᾳ ἡ ὀρθότης τὸν αὐτὸν ὅρον τοῦ εἶναι φυλάττουσα προσέοικε, τοῖς δὲ συμβεβηκόσιν ἥ τε ἀμβλεῖα καὶ ὀξεῖα· ταῦτα γὰρ δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ ἀορίστως μεταβάλλοντα οὐδέποτε παύεται. σύμβολον οὖν καὶ ἡ*

11 Proclus p. 132, 7 sqq.

1 *ἀπειρίᾳ*] Hultsch, *ἀπειρίας* CFN, *τῆς ἀπειρίας* H. 2 *ποιοῖς*] *-οῖς* e corr. C. *ἀνομοιότης* H. 3 *τε*] scripsi, *τὸ* CFNH. *καὶ*] addidi, om. CFNH, cfr. Proclus p. 132, 7. 4 *ἀπὸ*] *ὁ μὲν ἀπὸ* Proclus p. 132, 8; *ὁ ἀπὸ* Hultsch. *τοῖς*

lichkeit aber der Unbegrenztheit; denn was im Quantitativen Gleichheit ist, das ist im Qualitativen Ähnlichkeit.

Da die gradlinigen Winkel kraft Grenze und Unbe- 11
grenztheit entstehen, bringt der von der Grenze her kommende Begriff einen Winkel zustande, den rechten, der immer von der Gleichheit beherrscht wird, indem er weder Vergrößerung noch Verkleinerung zuläßt, der von der Unbegrenztheit her aber, der sekundär und zweiheitlich ist, bringt auch zweifache Winkel hervor auf beiden Seiten des rechten, durch Ungleichheit getrennt nach größer und kleiner, mehr und weniger, in unbegrenzter Bewegung, indem der eine mehr oder weniger stumpf, der andere mehr oder weniger spitz wird. Unter den göttlichen Ordnungen und den Einzelkräften führen sie daher auch die rechten Winkel auf die unvermischten zurück als Ursachen der unentwegten Vorsehung für das Sekundäre; denn das Aufrechte und zum Schlechteren nicht sich Neigende und Unwandelbare schickt sich für jenes Göttliche; die stumpfen und spitzen aber, sagen sie, seien den Urhebern der Entwicklung und denen der Bewegung und der Mannigfaltigkeit der Kräfte geweiht; denn das Stumpfe ist ein Bild der sich zu allem entfaltenden Ausdehnung der Ideen, und das Spitze enthält eine Nachbildung der das Ganze zerteilenden und bewegenden Ursache. Ferner ist in den Dingen selbst die Rechtheit dem Wesen ähnlich, indem sie dieselbe Bestimmung des Seins bewahrt, der stumpfe und der spitze Winkel aber den Akzidensen; sie lassen nämlich das Mehr und das Weniger zu und ändern sich unaufhörlich in unbestimmter Weise. Also ist auch die Senkrechte ein Symbol des Gleich-

---

ὀρθοῖς C. 7 διαδικὸς F. 10 κίνησιν] τὴν κίνησιν H.

12 καὶ (pr.)] om. F. 15 αἰτίους] CF, αἰτίας NH. χείροῦ N. 16 προσήκει] comp. N supra scr. συνήκει N². 18 χορηγοῖς] CF, χορηγοὺς NH. ἀνεῖσθαι] NH, ἀνύσθαι CF. 19 τό] τέ F. ἁπλουμένης] -ης e corr. C. 20 ἐκςάσεως N. 22 καὶ (alt.)] CF, om. NH. τῇ] NH, τὰ CF. 24 τοῖς δὲ] Proclus p. 133, 4; δὲ τοῖς CFNH. 25 τὸ (alt.)] om. N. 26 μεταβάλλοντα] H, μεταβάλλοῦ N, μεταβάλλονται CF.

κάθετός ἐστιν ἀρρεψίας, καθαρότητος ἀχράντου, δυνάμεως ἀκλινοῦς, πάντων τῶν τοιούτων. ἔστι δὲ καὶ μέτρου θείου καὶ νοεροῦ σύμβολον· διὰ γὰρ καθέτου καὶ τὰ ὕψη τῶν σχημάτων ἀναμετροῦμεν, καὶ πρὸς τὴν ὀρθὴν ἀναφορᾷ τὰς ἄλλας εὐθυγράμμους γωνίας ὁρίζομεν αὐτὰς ἐφ' ἑαυτῶν ἀορίστους οὔσας· ἐν ὑπερβολῇ γὰρ καὶ ἐλλείψει θεωροῦνται, τούτων δὲ ἑκατέρα καθ' ἑαυτὴν ἀπέραντός ἐστιν.

12 *Ἀποδείξεως δεῖσθαι καὶ κατασκευῆς παρὰ τὴν ἰδιότητα τῶν ζητουμένων τῆς τῶν αἰτημάτων καὶ ἀξιωμάτων ἐναργείας ἀπολειπομένην. ἄμφω μὲν οὖν τὸ ἁπλοῦν ἔχειν δεῖ καὶ εὔληπτον, τό τε αἴτημα λέγω καὶ τὸ ἀξίωμα, ἀλλὰ τὸ μὲν αἴτημα προστάττειν ἡμῖν μηχανήσασθαι καὶ πορίσασθαί τινα ὕλην εἰς συμπτωμάτων ἀπόδοσιν ἁπλῆν ἔχουσαν καὶ εὐπετῆ τὴν λῆψιν, τὸ δὲ ἀξίωμα συμβεβηκός τι κατ' αὐτὸ λέγειν γνώριμον αὐτόθεν τοῖς ἀκούουσιν, ὥσπερ καὶ τὸ θερμὸν εἶναι τὸ πῦρ. ἑκάτερον δέ ἐστιν ἀρχὴ ἀναπόδεικτος, καὶ τὸ αἴτημα καὶ τὸ ἀξίωμα, εἰ καὶ τὸ μὲν ὡς εὐπόριστον λαμβάνεται, τὸ δὲ ὡς εὔγνωστον.*

13 *Πᾶν πρόβλημα καὶ πᾶν θεώρημα τὸ ἐκ τελείων αὐτοῦ μερῶν πεπληρωμένον βούλεται ταῦτα πάντα ἔχειν ἐν ἑαυτῷ· πρότασιν, ἔκθεσιν, διορισμόν, κατασκευήν, ἀπόδειξιν, συμπέρασμα. τούτων δὲ ἡ μὲν πρότασις λέγει, τίνος δεδομένου τί τὸ ζητούμενόν ἐστιν· ἡ γὰρ*

12 Proclus p: 181, 1 sqq. — 13 Proclus p. 203, 1 sqq.

1 *ἀρρεψίας*] FH, *ἀρεψίας* CN. *ἀχράντου*] NH, *ἄχραντος* CF. 3 *καθέτων* F. 4 *πρὸς*] *τῇ πρὸς* Proclus p. 133, 16. 5 *ἀναφορᾷ*] idem, *ἀναφορὰν* CFNH. *εὐθυγράμμας* C. 6 *ἐφ'*] *ἀφ'* N. *ἀορίστους*] corr. ex *ἀορίστως* N. 7 *τούτων*] NH, *τοῦτο* CF. *δὲ*] Proclus p. 133, 19; *γὰρ* CFNH. 8 *αὐτὴν* F. 9 Ante *ἀποδείξεως* lac. indicat Hultsch; fort. *τὸ ἀποδ.* *παρὰ*]

gewichts, der unbefleckten Reinheit, der unentwegten Kraft und aller ähnlichen Dinge. Sie ist aber auch Symbol des göttlichen und ideellen Maßes; denn mittels der Senkrechten messen wir auch die Höhen der Figuren, und durch Zurückführung auf den rechten bestimmen wir die andern gradlinigen Winkel, die an und für sich unbestimmt sind; sie werden nämlich durch Überschuß und Mangel bezeichnet, und beides ist an sich unbegrenzt.

Beweis und Konstruktion zu bedürfen, liegt an der 12
Eigentümlichkeit des Gesuchten, die hinter der Klarheit der Postulate und Axiome zurückbleibt. Beide müssen also das Einfache und leicht Faßbare haben (ich meine Postulat und Axiom), das Postulat aber muß uns befehlen einen Stoff von einfacher und leichter Fassung zur Darstellung der Eigenschaften herzustellen und zuwegezubringen, das Axiom dagegen muß ein Akzidens an und für sich nennen, das den Hörenden sofort verständlich ist, wie daß das Feuer warm ist. Beides aber, sowohl Postulat als Axiom, ist eine unbewiesene Grundlage, wenn auch jenes angenommen wird als leicht zu beschaffen, dieses dagegen als leicht einzusehen.

Jedes Problem und jedes Theorem, das seine sämtlichen 13
Teile vollständig hat, pflegt dies alles in sich zu haben: Protasis, Ekthesis, Diorismus, Konstruktion, Beweis, Konklusion. Von diesen besagt die Protasis, was das Gegebene und was das Gesuchte ist; denn die vollständige Protasis

---

h. e. *γίγνεται παρὰ*, cfr. Proclus p. 180, 25; *περὶ* H. 11 *ἐναργείας*] Proclus, *ἐνεργείας* CFNH. *οὖν*] NH, om. CF. 12 *δεῖ*] *δὴ* C. *εὔληπτον*] NH, *ἄληπτον* C, mg. F; *ἄλληλοῦ* F. *τε*] om. H. *αἴτιμα* F. 13 *προστάττειν*] N, *προστάττει* H, *προτάττειν* CF. *μηχανησάμενος* F. 14 *συμπτώματος* NH. 15 *ἀπόδοσιν*] NH, *ἀπόδωσιν* C, *ὑπόδοσιν* F. *ἔχουσαν*] H, *ἔχουσα* CFN. *εὐπετῆ*] corr. ex *ἀπετῆ* C^2. 16 *κατ' αὐτὸ*] *καθ' αὐτὸ* Procli ed. pr., *καὶ ταὐτὸ* F. *γνώριμον*] Proclus p. 181, 9; *γνώριμα* N, *-ι-* e corr.; *γνώρισμα* CFH. 17 *ὥσπερ καὶ*] CF, *ὥσπερ* N, *ὡς* H. *τὸ πῦρ*] N, *τῷ πυρί* CFH. 18 *δὲ*] NH, om. CF. *ἔστι* C. *ἀνυπόδεικτος* F. *τὸ*] NH, om. CF. 19 *εἰ*] NH, om. CF. *εὐπόριστον*] NH, *ἀπόριστον* CF. 21 *ἐκ τελείων*] NH, *ἐκτελεῖ* CF. 22 *μερῶν αὐτοῦ* H. *πεπληρωμένον*] NH, *πεπληρωμένων* CF. 23 *αὐτῷ* F. 25 *ἔστιν*] om. H.

τελεία πρότασις ἐξ ἀμφοτέρων ἐστίν· ἡ δὲ ἔκθεσις αὐτὸ καθ' ἑαυτὸ τὸ δεδομένον ἀποδιαλαβοῦσα προευτρεπίζει τῇ ζητήσει, ὁ δὲ διορισμὸς χωρὶς τὸ ζητούμενον, ὅ τι ποτέ ἐστι, διασαφεῖ, ἡ δὲ κατασκευὴ τὰ ἐλλείποντα τῷ δεδομένῳ πρὸς τὴν τοῦ ζητουμένου θήραν προστίθησιν, ἡ δὲ ἀπόδειξις ἐπιστημονικῶς ἐκ τῶν ὁμολογηθέντων συνάγει τὸ προκείμενον, τὸ δὲ συμπέρασμα πάλιν ἐπὶ τὴν πρότασιν ἀναστρέφει βεβαιοῦν τὸ δεδειγμένον. καὶ τὰ μὲν σύμπαντα μέρη τῶν τε προβλημάτων καὶ τῶν θεωρημάτων ἐστὶ τοσαῦτα, τὰ δὲ ἀναγκαιότατα καὶ ἐν πᾶσιν ὑπάρχοντα πρότασις καὶ ἀπόδειξις καὶ συμπέρασμα· δεῖ γὰρ καὶ προειδέναι τὸ ζητούμενον καὶ δείκνυσθαι τοῦτο διὰ τῶν μέσων καὶ συνάγεσθαι τὸ δεδειγμένον, καὶ τούτων τῶν τριῶν ἐκλείπειν τι τῶν ἀδυνάτων ἐστί· τὰ δὲ λοιπὰ πολλαχοῦ μὲν παραλαμβάνεται, πολλαχοῦ δὲ καὶ ὡς οὐδεμίαν παρέχοντα χρείαν παραλείπεται· διορισμός τε γὰρ καὶ ἔκθεσις οὐκ ἔστιν ἐν ἐκείνῳ τῷ προβλήματι.

14 Τῶν προβλημάτων τὰ μὲν μοναχῶς γίνεται, τὰ δὲ διχῶς, τὰ δὲ πλεοναχῶς, τὰ δὲ ἀπειραχῶς, μοναχῶς μὲν ὡς τὸ ἰσόπλευρον τρίγωνον, τῶν δὲ λοιπῶν τὸ μὲν διχῶς συνίσταται, τὸ δὲ τριχῶς· ἀπειραχῶς δὲ τὰ τοιαῦτα προβλήματα γένοιτ' ἄν· τὴν δοθεῖσαν εὐθεῖαν τέμνειν εἰς τρία ἀναλόγως.

15 Πρὸ τῶν ἄλλων καὶ ἐν τοῖς πολλοῖς καὶ κατὰ τὴν πρὸς αὐτὰ σχέσιν καὶ κατηγορίαν ὑφιστάμενα. τριτ-

---

14 Proclus p. 220, 7 sqq. — 15 Proclus p. 51, 7 sqq.

---

2 αὐτὸ H. ἀποδιαλαβοῦσα] CF, ἀπολαβοῦσα NH. 3 τὸ ζητούμενον] Proclus p. 203, 9; τοῦ ζητουμένου CFNH. 5 ἐκλείποντα F. 6 θήραν] NH, αἰτίαν CF. 8 πάλιν] NH, om.

enthält beides; die Ekthesis aber sondert das Gegebene für sich aus und bereitet es für die Untersuchung vor, der Diorismus macht das Gesuchte für sich deutlich, was es ist, die Konstruktion fügt hinzu, was dem Gegebenen fehlt zur Aufspürung des Gesuchten, der Beweis erschließt wissenschaftlich das Vorgelegte aus dem Feststehenden, die Konklusion aber kehrt wieder zur Protasis zurück, indem sie das Bewiesene behauptet. Die sämtlichen Teile sowohl der Probleme als der Theoreme sind nun so viele, die notwendigsten aber und in allen vorhanden sind Protasis, Beweis und Konklusion; denn man muß sowohl das Gesuchte vorher wissen als es durch die Zwischenglieder beweisen und das Bewiesene folgern, und daß irgend etwas von diesen dreien fehlen sollte, ist ein Ding der Unmöglichkeit; die übrigen Teile aber werden manchmal mitgenommen, manchmal auch weggelassen als unnütz; so fehlt in dem vorliegenden Problem*) sowohl Diorismus als Ekthesis.

Von den Problemen werden einige nur auf eine Weise 14
gelöst, andere auf zwei, wieder andere auf mehrere und andere auf unendlich viele, auf eine wie die Konstruktion des gleichseitigen Dreiecks, die übrigen aber werden teils auf zwei, teils auf drei Weisen konstruiert; auf unendlich viele aber können solche Probleme gelöst werden, wie z. B. eine gegebene Gerade in drei Teile proportional zu teilen.

Vor den anderen Dingen, in den vielen und Gestalt an- 15
nehmend nach dem Verhältnis dazu und der Kategorie.

*) Euclid. IV 10, cfr. Proclus p. 203, 24 sqq.

CF. *ἀναστρέφει*] NH, *πάλιν ἀναστρέφει* CF. 10 *τε*] om. H. *καὶ τῶν*] *ἢ* H. *τοσαῦτα*] NH, *ταῦτα* CF. 12 *καὶ* (pr.)] N, om. CFH. 14 *τὸ δεδειγμένον*] NH, *τῷ δεδεγμένῳ* CF. *τοῦτο* F. 15 *ἐλλείπειν* H. *ἀδύνατον* F. *ἐστίν* C. 17 *καὶ*] om. H. *παρέχοντα*] N, *ἔχοντα* CFH. 19 *προβλήματι*] CF, *πληρώματι* NH. 20 *γίνεται*] CF, *γίγνονται* NH. 22 *τὸ* (alt.)] NH, *τῶν* CF. 25 *τέμνον* F. *τρία*] $\bar{\gamma}$ N. 26 Ante *Πρὸ* lac. indicauit Hultsch, cfr. Proclus p. 51, 6—7. *πρὸ τῶν*] *τῶν πρὸ* F. *κατὰ*] Proclus p. 51, 8; om. CFNH. 27 *καὶ*] Proclus p. 51, 9; om. CFNH. *τριττῶν*] NH, *τρίτον* C, *τρίτων* F.

τῶν δὲ ὄντων ὡς συνελόντι φάναι τῶν καθολικῶν εἰδῶν τοῦ μετεχομένου ἐν τοῖς πολλοῖς ὄντος καὶ τὰ μερικὰ ἐκπληροῦντος νοήσωμεν διαφορὰς κατὰ τὴν ὑποκειμένην ὕλην καὶ τὰ μετέχοντα αὐτοῦ διττὰ θέμενοι, τὰ μὲν αἰσθητά, τὰ δὲ φαντασίᾳ τὴν ὑπόστασιν ἔχοντα· καὶ γὰρ ἡ ὕλη διττὴ καὶ ἡ μὲν αἰσθήσει συζυγούντων, ἡ δὲ φανταστῶν.

16 Πᾶν γὰρ τὸ καθόλου καὶ τὸ ἓν καὶ τῶν πολλῶν περιληπτικὸν ἢ ἐν τοῖς καθ' ἕκαστα φαντάζεσθαι καὶ τὴν ὕπαρξιν ἐν τούτοις ἔχειν ἀχώριστον ἀπ' αὐτῶν ὑπάρχον καὶ κατατεταγμένον ἐν αὐτοῖς καὶ μετὰ τούτων ἢ συγκινούμενον ἢ μονίμως ἑστὼς καὶ ἀκινήτως, ἢ πρὸ τῶν πολλῶν ὑφεστάναι καὶ γεννητικὸν εἶναι τοῦ πλήθους ἐμφάσεις ἀφ' ἑαυτοῦ τοῖς πολλοῖς παρέχον καὶ ἀμερίστως μὲν αὐτὸ προτεταγμένον τῶν μετεχόντων, ποικίλας δὲ μεθέξεις εἰς τὰ δεύτερα χορηγοῦν.

17 Τὸ τῆς γραμμῆς εἶδος διττὴν συνέχουσα δύναμιν, ἀμέριστον καὶ μεριστήν· ἔχει γὰρ τὸ σημεῖον ἀμερῶς καὶ τὰ διαστήματα μεριστῶς.

18 Τὴν μονάδα λέγουσι στιγμὴν ἄθετον, τὴν δὲ στιγμὴν θέσιν ἔχουσαν. τὸ δὲ σημεῖον ἐν φαντασίᾳ προτείνεται καὶ οἷον ἐν τόπῳ γέγονε καὶ ἔνυλόν ἐστι κατὰ τὴν νοητὴν ὕλην. ἄθετος οὖν ἡ μονὰς ὡς ἄυλος

---

16 Proclus p. 50, 18 sqq. — 17 Proclus p. 95, 17 sqq. — 18 Proclus p. 59, 17—18 (cfr. p. 95, 26 sqq.), p. 96, 6 sqq.

---

1 ὡς] N, om. H, ὡς ἐν CF. συνελλόν$^{\tau\iota}$ C. 2 ἐν] καὶ ἐν Proclus p. 51, 11. ὄντος] Proclus p. 51, 11; ὄντι CFNH. 3 μερικὰ] NH, μετρικὰ CF. ἐμπληροῦντι H. νοήσωμεν] CF, νοήσομεν NH. 4 διττὰ] corr. ex διϖα H. 5 φαντασίαν F. 6 ἡ (pr.)] om. H. 7 φανταστῶν] NH, φανταστικόν C, φανταστικῶν F. 8 καὶ τὸ ἓν καὶ] CF, ἓν καὶ N, καὶ H. 9 ἢ] CF,

Indem aber die allgemeinen Ideen hauptsächlich von drei Arten*) sind, können wir innerhalb dessen, woran die Dinge teilhaben, welches in den vielen ist und die Einzeldinge erfüllt, Unterschiede denken nach der zugrunde liegenden Materie, indem wir auch das daran Teilhabende von zweifacher Art annehmen, teils sinnlich, teils durch Vorstellung existierend; denn auch die Materie ist von zweifacher Art, teils der Dinge, die mit den Sinnen verbunden sind, teils der vorgestellten.

Denn alles Allgemeine und Eine und die vielen Dinge 16
Umfassende werde**) entweder in den Einzeldingen vorgestellt und habe in ihnen seine Existenz unzertrennbar von ihnen und in ihnen eingeordnet und mit ihnen sich bewegend oder bleibend und unbeweglich feststehend, oder es existiere vor den vielen Dingen und erzeuge die Mehrheit, indem es von sich aus dem Vielen Spiegelbilder verleihe und selbst ungeteilt an der Spitze der teilhabenden Dinge stehe und dem Sekundären mannigfache Teilnahme vermittle.

Die Idee der Linie [hat die Seele in sich], indem sie 17
eine zweifache Fähigkeit verbindet, eine ungeteilte und eine teilbare; denn sie hat den Punkt ohne Teile und die Entfernungen in Teilen.

Die Einheit nennen sie***) einen Punkt ohne Lage, den 18
Punkt aber mit Lage. Der Punkt aber tritt heraus und ist gewissermaßen im Raum in der Vorstellung und ist materiell in der gedachten Materie. Die Einheit ist also ohne Lage

*) Nämlich die drei p. 122, 26—27 bezeichneten.
**) Nach Platons Vorgang, s. Proclus p. 50, 17.
***) Die Pythagoreer.

---

om. NH. 10 ἔχειν ἀχώριστον] NH, ἐκεῖνα χωρὶς τῶν CF. 11 καταιτεταμμένον F. 13 γεννητικὸν] CH, γενητικὸν N, γενικὸν̈ F. 14 ἀφ'] ἐφ' F. ἑαυτὸ F. 15 παρέχων C. ἀμερίστως] corr. ex ἀμερίστω H. αὐτῷ H. προστεταγμένον N.

16 χωͦρηγοῦν F. 18 συνέχουσα] Proclus p. 95, 18; συνέχουσαν CFNH. 19 τὸ σημεῖον γὰρ N. 21 λέγουσιν H. ἄθετον] NH, εὔθετον CF. 24 νοητῶς H. ὡς] N, καὶ CFH.

καὶ παντὸς ἔξω διαστήματος καὶ τόπου· θέσιν ἔχει τὸ σημεῖον ὡς ἐν τοῖς φαντασίας κόλποις.

19 *Διττὸν δὲ τὸ σημεῖον, ἢ καθ' αὑτὸ ἢ ἐν τῇ γραμμῇ, καὶ ὡς πέρας ὂν μόνον καὶ ἓν οὔτε ὅλον οὔτε μέρη ἔχον μιμεῖται τὴν ἀκρότητα τῶν ὄντων καὶ διὰ τοῦτο καὶ ἀνάλογον τίθεται τῇ μονάδι. δυάδι δὲ τὴν γραμμήν, τριάδι δὲ τὴν ἐπιφάνειαν.*

20 *Οἱ Πυθαγόρειοι τῇ τριάδι προσήκειν ἔλεγον τὴν ἐπιφάνειαν, διότι δὴ τὰ ἐπ' αὐτῆς σχήματα πάντα πρώτην αἰτίαν ἔχει τὴν τριάδα. ὁ μὲν γὰρ κύκλος, ὅς ἐστιν ἀρχὴ τῶν περιφερομένων, ἐν κρυφίῳ ἔχει τὸ τριαδικὸν τῷ κέντρῳ, τῇ διαστάσει, τῇ περιφερείᾳ, τὸ δὲ τρίγωνον ἁπάντων ἡγεμονοῦν τῶν εὐθυγράμμων παντί που δῆλον ὅτι τῇ τριάδι κατέχεται καὶ κατ' ἐκείνην μεμόρφωται.*

21 *Ἓν λέγεται τὸ πέρας καὶ ἀπειρία καὶ τὸ μικτόν· πάντα γὰρ τὰ ὄντα ἐκ τούτων ἑνοῦται.*

22 *Τὴν ἐπιστήμην διαιροῦσιν εἰς ἀνυπόθετον καὶ ἐνυπόθετον, καὶ τὴν μὲν ἀνυπόθετον τῶν ὅλων εἶναι γνωστικὴν μέχρι τοῦ ἀγαθοῦ καὶ τῆς ἀνωτάτω τῶν πάντων αἰτίας ἀναβαίνουσαν καὶ τῆς ἀναγωγῆς τέλος ποιουμένην τὸ ἀγαθόν, τὴν δὲ ἐνυπόθετον ὡρισμένας ἀρχὰς προστησαμένην ἀπὸ τούτων δεικνύναι τὰ ἑπόμενα αὐταῖς, οὐκ ἐπ' ἀρχὴν ἀλλ' ἐπὶ τελευτὴν ἰοῦσαν. καὶ οὕτως δὴ τὴν μαθηματικὴν ἅτε ὑποθέσεσιν χρω-*

---

19 Proclus p. 98, 13 sqq. (lin. 6 cfr. p. 97, 20). — 20 Proclus p. 114, 25 sqq. — 21 cfr. Proclus p. 104, 8 sq. — 22 Proclus p. 31, 11 sqq.

---

1 *ἔχει*] NH, *ἐ* (with *χ* above) C, *ἔχον* F. 2 *φαντασίας*] NH, *φαντασίοις* CF. 3 *διττὸν*] corr. ex *διϖον* in scrib. H. *τῇ*] om. H. 4 *ὂν*] NH, *ἣν* CF. *ἓν—5 ἔχον*] Proclus p. 98, 14—15; *ἑνοῦται*

als immateriell und außerhalb jedes Abstands und Raums;
der Punkt hat Lage als im Busen der Vorstellung.
Der Punkt ist aber ein Zweifaches, entweder an und für 19
sich oder in der Linie, und indem er nur Grenze ist und
eins und weder ein Ganzes noch Teile hat, bildet er das
äußerste der Dinge nach und wird daher auch mit der Ein-
heit verglichen. Mit der Zweiheit aber [vergleichen die
Pythagoreer] die Linie, mit der Dreiheit die Fläche.
Die Pythagoreer sagten, daß die Fläche mit der Drei- 20
heit zusammenhänge, weil die Figuren in ihr alle die Drei-
heit als erste Ursache haben. Denn der Kreis, der Anfang
der runden Figuren ist, hat das dreiheitliche verborgen in
sich durch Zentrum, Halbdurchmesser und Umkreis, und
beim Dreieck, das an der Spitze aller gradlinigen Figuren
steht, ist es ja jedem klar, daß es von der Dreiheit be-
herrscht wird und nach ihr gestaltet ist.
Eins wird genannt die Grenze, Unbegrenztheit und das 21
Gemischte; denn alle Dinge werden durch diese vereinigt.
Das Wissen teilt man in das voraussetzungslose und 22
das auf Voraussetzungen ruhende; das voraussetzungslose
erkenne das Ganze, indem es bis zum Guten und der ober-
sten Ursache von allem aufsteige und das Gute zum Schluß-
stein der Erhebung mache, das auf Voraussetzungen ruhende
aber stelle bestimmte Grundlagen an die Spitze und be-
weise daraus, was daraus folge, indem es nicht dem An-
fang, sondern dem Schluß zustrebe. So bleibe also die

ὅλον CFNH. 5 *μιμεῖται*] *καὶ μιμεῖται* F. 6 *καὶ*] om. H. *δυάδι—7 ἐπιφάνειαν*] del. Hultsch. 8 *Πυθαγόρειοι*] NH, *Πυθαγόριοι* CF. 9 *δὴ*] om. H. *πρώτην*] Hultsch, *πρὸς τὴν* CFNH, *πρωτίστην* Proclus p. 115, 2. 10 *ὃς*] Proclus p. 115, 3; om. CFNH. 11 *ἐν κρυφίῳ*] *ἐγκρυφῖ'* N. *ἔχει*] F, $\overset{\chi}{\varepsilon}$ C, *ἔχειν* NH. *τὸ*] NH, *δὲ* CF. 14 *καταχέεται* H. 16 *καὶ* (alt.)] om. H. 20 *γνωστικὴν*] NH, *γνωστὸν* C, *γνωστὴν* F. *τοῦ*] Proclus p. 31, 5; *τόπου* CF, *που τοῦ* NH. *τῶν*] NH, om. CF. 22 *ποιουμένης* H. *τὸ*] *τῷ* C. *ὁρισμένας* C. 23 *προστησαμένην*] NH, *προσθησαμένην* CF. 25 *οὕτως*] NH, *οὕτω* CF. *δὴ*] mut. in *δεῖ* in scrib. N. *ὑποθέσεσιν*] corr. ex *ὑπόθεσιν* N[2], *ὑποθέσει* CFH.

μένην τῆς ἀνυποθέτου καὶ τελείας ἐπιστήμης ἀπολείπεσθαι· μία γὰρ ἡ ὄντως ἐπιστήμη, καθ' ἣν τὰ ὄντα πάντα γινώσκειν πέφυκε, καὶ ἀφ' ἧς πᾶσαι αἱ ἀρχαὶ ταῖς μὲν ἐγγυτέρω τεταγμέναις ταῖς δὲ πορρωτέρω [καθάπερ ὁ νοῦς].

23 Περὶ δὲ διαλεκτικῆς, καθάπερ ὁ νοῦς ὑπερίδρυται τῆς διανοίας καὶ χορηγεῖ τὰς ἀρχὰς ἄνωθεν αὐτῇ καὶ τελειοῖ τὴν διάνοιαν ἀφ' ἑαυτοῦ, κατὰ τὰ αὐτὰ δὴ καὶ ἡ διαλεκτικὴ φιλοσοφίας οὖσα τὸ καθαρώτατον μέρος προσεχῶς οὖσα ὑπερήπλωται τῶν μαθημάτων καὶ περιέχει τὴν ὅλην αὐτῶν ἀνέλιξιν καὶ δίδωσι δυνάμεις ἀφ' ἑαυτῆς ταῖς ἐπιστήμαις αὐτῶν παντοίας τελειουργοὺς καὶ κριτικὰς καὶ νοεράς, τὴν ἀναλυτικὴν λέγω καὶ διαιρετικὴν καὶ τὴν ὁριστικὴν καὶ ἀποδεικτικήν, ἀφ' ὧν δὴ χορηγουμένη καὶ τελειουμένη ἡ μαθηματικὴ τὰ μὲν δι' ἀναλύσεως εὑρίσκει, τὰ δὲ διὰ συνθέσεως, καὶ τὰ μὲν διαιρετικῶς ὑφηγεῖται, τὰ δὲ ὁριστικῶς, τὰ δὲ δι' ἀποδείξεως καταδεῖται τῶν ζητουμένων, συναρμόζουσα μὲν τοῖς ὑποκειμένοις ἑαυτῇ τὰς μεθόδους ταύτας.

willst, nimm gleichfalls 400 $\div$ 12 $\times$ 12 = 400 $\div$ 144
= 256; $\sqrt{256} = 16$; so viel Schoinien ist die Grundlinie.

---

2 *μείζων*] C, om. A. 5 *πολυπλασίασον*] C, om. A. 6 *ἑαυτά*] ἑ' A. *καθέτου*] C, *πρὸς ὀρθᾶς* A. 7 *ἀμφοτέρων*— 8 *πολυπλασιασμούς*] C, *ἀμφότερα* A. *τὰ*] A, *τῶν* C. 9 *τὰ*] A, *τῶν* C. 10 *καὶ ἔστιν*] C, *ἔσται οὖν* A. $\overline{ι}$ (alt.)] in ras. C. *καὶ*—11 *ποίει*] A, om. C. 12 *Τρίγωνον*] C, *ἕτερον τρίγωνον* A. 14 *τὸ*] C, *αὐτοῦ τὸ* A. 17 *τὸ*—$\overline{ϙϛ}$] C, *τῶν ἐνενηκονταὲξ τὸ ἥμισυ* A. 19 *ἀπὸ*—*πλευρῶν*] A, om. C. 23 $\overline{κ}$] C, *γίνεται* $\overline{κ}$ A. 26 $\overline{ιϛ}$] C, $\overline{ιϛ}$ *τῆς βάσεως* A. *ἑαυτὰ*] ἑ. A. *γίνονται*] comp. A, om. C. 28 *ἡ*] C, *ἔσται ἡ* A. 29 *γινόμενα*] $\overset{LI}{Γ}$ C. 31 *σχοινίων ἐστὶν*] C, *ἔσται σχοινίων* A.

14 ἐὰν δὲ ἡ ὑποτείνουσα σχοινίων κ̅ καὶ θέλῃς ἐκ ταύτης
εὑρεῖν τὴν βάσιν καὶ τὴν πρὸς ὀρθάς, ποίει οὕτως· τὰ
κ̅ τῆς ὑποτεινούσης τετράκις· γίνονται π̅· ὧν τὸ ε´·
15 γίνονται ις̅· τοσούτων ἔσται σχοινίων ἡ βάσις. ὁμοίως
καὶ τὴν πρὸς ὀρθὰς εὑρεῖν. τρισσάκις τὰ κ̅· γίνονται ξ̅·
τούτων τὸ ε´· γίνονται ιβ̅· τοσούτων ἔσται σχοινίων ἡ
πρὸς ὀρθάς.

16 Τρίγωνον ὀρθογώνιον, οὗ τὸ ἐμβαδὸν ὀργυιῶν χ̅,
ἡ δὲ κάθετος ὀργυιῶν λ̅· τούτου τήν τε βάσιν καὶ τὴν
ὑποτείνουσαν εὑρεῖν. ποίει οὕτως· δὶς τὸ ἐμβαδόν·
γίνονται ͵ασ. ταῦτα ἀνάλυσον παρὰ τὴν κάθετον· γί-
17 νονται μ̅· τοσούτων ἐστὶν ὀργυιῶν ἡ βάσις. ὁμοίως
καὶ τὴν ὑποτείνουσαν εὑρεῖν. πολυπλασίαζε τὴν κάθετον
ἐφ' ἑαυτήν· γίνονται ϡ̅· καὶ τὴν βάσιν ἐφ' ἑαυτήν·
γίνονται ͵αχ· ὁμοῦ γίνονται ͵βφ· ὧν πλευρὰ τετράγωνος
γίνεται ν̅· τοσούτων ὀργυιῶν ἐστιν ἡ ὑποτείνουσα.

8 Μέθοδος Πυθαγόρου περὶ τριγώνου ὀρθογωνίου.

1 Ἐὰν ἐπιταγῇς τρίγωνον ὀρθογώνιον συστήσασθαι κατὰ τὴν Πυθαγόρειον μέθοδον ἀπὸ πλήθους περιττοῦ, ποιήσεις οὕτως· δεδόσθω τῇ καθέτῳ ἀριθμὸς ὁ τῶν ε̅· ταῦτα ἐφ' ἑαυτά· γίνονται κε̅· ἀπὸ τούτων ἄφελε μονάδα μίαν· λοιπὰ κδ̅· τούτων τὸ ∠´ ιβ̅· ταῦτα ἡ βάσις. πρόσθες τῇ βάσει μονάδα μίαν· γίνονται ιγ̅· τοσούτων ἡ ὑποτείνουσα.

A 2 Τὸ δὲ ἐμβαδὸν εὑρεῖν τοῦ αὐτοῦ τριγώνου. λαβὲ τῶν ιβ̅ τῆς βάσεως τὸ ἥμισυ· γίνονται ϛ̅· ταῦτα ἐπὶ τὰ ε̅ τῆς πρὸς ὀρθάς· γίνονται λ̅· καὶ ἔσται τὸ ἐμβαδὸν αὐτοῦ μονάδων τριάκοντα.

3 Ἐὰν δὲ ἐπιταγῇς ἄξαι κάθετον ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν ὑποτείνουσαν, πολυπλασίαζε τὰ ε̅ τῆς

Wenn aber die Hypotenuse $= 20$ Schoinien, und du daraus 14
die Grundlinie und die Senkrechte finden willst, mache so:
4×20 der Hypotenuse $= 80$, $\frac{1}{5} \times 80 = 16$; so viel
Schoinien wird die Grundlinie sein. Ebenso auch die Senk- 15
rechte zu finden. $3 \times 20 = 60$, $\frac{1}{5} \times 60 = 12$; so viel
Schoinien wird die Senkrechte sein.*)

Ein rechtwinkliges Dreieck, dessen Rauminhalt $= 600$ 16
Klafter, die Kathete $= 30$ Klafter; zu finden sowohl seine
Grundlinie als die Hypotenuse. Mache so: $2 \times$ Rauminhalt
$= 1200$, $1200 :$ Kathete $= 40$; so viel Klafter ist die Grund-
linie. Ebenso auch die Hypotenuse zu finden. Multipliziere 17
die Kathete mit sich selbst; macht 900; und die Grundlinie
mit sich selbst; macht 1600; $900 + 1600 = 2500$; $\sqrt{2500}$
$= 50$; so viel Klafter ist die Hypotenuse.

Die Methode des Pythagoras vom rechtwinkligen Dreieck. 8

Wenn verlangt wird, daß du ein rechtwinkliges Dreieck 1
konstruieren sollst nach der Methode des Pythagoras von
einer ungeraden Zahl aus, wirst du so machen: es sei der
Kathete die Zahl 5 gegeben; $5 \times 5 = 25$, $25 \div 1 = 24$,
$\frac{1}{2} \times 24 = 12$; das ist die Grundlinie. $12 + 1 = 13$; so
viel die Hypotenuse.

Zu finden den Rauminhalt desselben Dreiecks. $\frac{1}{2} \times 12$ 2
der Grundlinie $= 6$, 6×5 der Senkrechten $= 30$; und
sein Rauminhalt wird sein $= 30$ Einheiten.

Wenn aber verlangt wird eine Senkrechte vom rechten 3
Winkel auf die Hypotenuse zu ziehen, multipliziere 5 der

*) Vgl. Diophantos II 8.

1 *σχοινίων*] C, *ἡ μόνη σχοινίων* A. 3 *τετράκις*] $\delta^{\text{ϥ}}{}'$ C. 4 *γίνονται*] C, comp. A. *μοίως* A. 5 *τρισσάκις*] *τρισάκις* C, *γ´* A. 9 *τε*] A, om. C. 11 *γίνονται* (pr.)] comp. C, *γίνεται* A. *γίνονται* (alt.)] C, comp. A. 12 *ἐστὶν*] C, *ἔσται* A. 15 *γίνονται* (alt.)] C, comp. A. 16 *γίνεται*] A, comp. C. *ἐστιν*] C, *ἔσται* A. 19 *Πυθαγόρειον*] *Πυθαγόριον* C, *Πυθαγόρου* A. 20 *ποιήσῃς* C. 22 *μίαν*] C, om. A. ∠´] C, *ἥμισυ γίνεται* A. 23 *τοσούτου* A. 25—p. 220, 20 om. C.

πρὸς ὀρθὰς ἐπὶ τὰ ιβ τῆς βάσεως· γίνονται ἑξήκοντα. ταῦτα ἀνάλυσον παρὰ τὰ ιγ τῆς ὑποτεινούσης· γίνονται δ ∠′ ιγ′ κς′ ἤτοι μονάδες δ καὶ λεπτὰ ιγ′ ιγ′ ὀκτώ· τοσούτου ἀριθμοῦ ἡ κάθετος.

4 Τὴν δὲ ἀποτομὴν αὐτοῦ εὑρεῖν. ποίησον οὕτως· τὰ ιγ τῆς ὑποτεινούσης ἐφ' ἑαυτά· γίνονται ρξθ· καὶ τὰ ε τῆς πρὸς ὀρθὰς ἐφ' ἑαυτά· γίνονται κε· ὁμοῦ ρϙδ. ἀπὸ τούτων λαβὲ τὰ ιβ τῆς βάσεως ποιῶν ἐφ' ἑαυτά· γίνονται ρμδ· λοιπὰ ν· ὧν ἥμισυ γίνεται κε. ταῦτα μέρισον παρὰ τὰ ιγ τῆς ὑποτεινούσης· γίνονται α ∠′ γ′ ιγ′ οη′ ἤτοι μονὰς μία καὶ λεπτὰ ιγ′ ιγ′ ιβ· τοσούτου ἡ ἀποτομὴ τοῦ ἥττονος τμήματος. ταῦτα ἆρον ἀπὸ τῶν ιγ· λοιπὰ ια ιγ′ ἤτοι μονάδες ἕνδεκα καὶ λεπτὸν ιγ′ α· τοσούτου ἡ ἀποτομὴ καὶ τοῦ μείζονος τμήματος.

5 Τὸ δὲ ἐμβαδὸν αὐτοῦ ἀπὸ τούτων εὑρεῖν. λαβὲ τῶν ιγ τῆς ὑποτεινούσης τὸ ἥμισυ· γίνονται ς ∠′· ταῦτα πολυπλασίασον ἐπὶ τὸν ἀριθμὸν τῆς ἀχθείσης καθέτου, τουτέστιν ἐπὶ τὰ δ ∠′ ιγ′ κς′· γίνονται τριάκοντα. ἔσται οὖν καὶ οὕτως τὸ ἐμβαδὸν αὐτοῦ μονάδων τριάκοντα.

9
A C Μέθοδος Πλάτωνος περὶ τριγώνου ὀρθογωνίου.

1 Ἐὰν ἐπιταγῇς τρίγωνον ὀρθογώνιον συστήσασθαι κατὰ Πλάτωνα ἀπὸ πλήθους ἀρτίου, ποίησον οὕτως· δεδόσθω τῇ καθέτῳ ἀριθμὸς ὁ τῶν η· τούτων τὸ ∠′· γίνονται δ· ταῦτα ἐφ' ἑαυτά· γίνονται ις. ἀφαίρει ἀπὸ τούτων μονάδα μίαν· λοιπὰ ιε· τοσούτου ἡ βάσις. πρόσθες τῇ βάσει δυάδα· γίνονται ιζ· ταῦτα ἀπόδος τῇ ὑποτεινούσῃ, καὶ συνίσταται.

2 Τὸ ἐμβαδὸν εὑρεῖν. ποίει οὕτως· πολυπλασίαζε ἀεὶ τὸ ∠′ τῆς βάσεως ἐπὶ τὴν πρὸς ὀρθὰς ἢ τὸ ∠′ τῆς

Senkrechten $\times$ 12 der Grundlinie $= 60$, $60 : 13$ der Hypotenuse $= 4\frac{1}{2}\,\frac{1}{13}\,\frac{1}{26}$ oder $4\frac{8}{13}$; so viel an Zahl die Senkrechte.

Zu finden deren Abschnitt. Mache so: 13 der Hypo- 4
tenuse $\times\, 13 = 169$, und 5 der Senkrechten $\times\, 5 = 25$, $169 + 25 = 194$, $194 \div 12$ der Grundlinie $\times\, 12 = 194 \div 144 = 50$; $\frac{1}{2} \times 50 = 25$, $25 : 13$ der Hypotenuse $= 1\frac{1}{2}\,\frac{1}{3}\,\frac{1}{13}\,\frac{1}{78} = 1\frac{12}{13}$; so viel der Abschnitt des kleineren Stücks. $13 \div 1\frac{12}{13} = 11\frac{1}{13}$; so viel der Abschnitt auch des größeren Stücks.

Und seinen Rauminhalt hieraus zu finden. $\frac{1}{2} \times 13$ der 5
Hypotenuse $= 6\frac{1}{2}$, $6\frac{1}{2} \times$ die Zahl der gezogenen Senkrechten, d. h. $6\frac{1}{2} \times 4\frac{1}{2}\,\frac{1}{13}\,\frac{1}{26} = 30$; also wird auch so sein Rauminhalt 30 sein.

Die Methode Platons vom rechtwinkligen Dreieck. 9

Wenn verlangt wird, daß du ein rechtwinkliges Dreieck 1
konstruieren sollst nach Platon von einer geraden Zahl aus, wirst du so machen: es sei der Kathete die Zahl 8 gegeben; $\frac{1}{2} \times 8 = 4$, $4 \times 4 = 16$, $16 \div 1 = 15$; so viel die Grundlinie. Grundlinie $+ 2 = 17$; gib diese der Hypotenuse, und die Konstruktion ist möglich.

Den Rauminhalt zu finden. Mache so: multipliziere immer 2
$\frac{1}{2}$ Grundlinie mit der Senkrechten oder $\frac{1}{2}$ Senkrechte mit der Grundlinie; und wisse, daß das dabei sich Ergebende

---

11 *μονάς*] $\overset{o}{\mu}$ A. 21 *Μέθοδος—ὀρθογωνίου*] A, om. C. 23 *ποίησον*] C, *ποιήσεις* A. 25 *ἀφαίρει ἀπὸ τούτων*] C, *ἀπὸ τούτων ἀφαίρει* A. 26 *λοιπὰ*] A, *λοιπαὶ* C. *τοσούτως* C. 29 *ἐμβαδὸν*] C, *δὲ ἐμβαδὸν αὐτοῦ* A. 30 *τὴν*] A, *τὴν κάθετον ἤγουν τὴν* C.

πρὸς ὀρθὰς ἐπὶ τὴν βάσιν· καὶ τὸ ἀπὸ τοῦδε συναγό-
μενον γίνωσκε εἶναι τὸ ἐμβαδὸν τοῦ ὀρθογωνίου τρι-
3 γώνου. οἷον ἔστω τριγώνου ὀρθογωνίου ἡ βάσις σχοι-
νίων $\overline{\kappa}$, ἡ κάθετος ἤγουν ἡ πρὸς ὀρθὰς σχοινίων $\overline{\iota\varepsilon}$
καὶ ἡ ὑποτείνουσα σχοινίων $\overline{\kappa\varepsilon}$· εὑρεῖν αὐτοῦ τὸ ἐμ-
βαδόν. ποίησον οὕτως· τὸ ἥμισυ τῆς βάσεως ἤγουν
τὰ δέκα πολυπλασίασον ἐπὶ τὰ $\overline{\iota\varepsilon}$ τῆς καθέτου· γί-
νονται $\overline{\rho\nu}$· τοσούτων σχοινίων ἐστὶ τὸ ἐμβαδόν. ὧν τὸ
∟′· γίνονται $\overline{o\varepsilon}$· καὶ ἔστι γῆς μοδίων $\overline{o\varepsilon}$.

4 Δύο τρίγωνα ὀρθογώνια ἡνωμένα, ὧν αἱ βάσεις
ἀνὰ σχοινίων $\overline{\varepsilon}$, αἱ ὑποτείνουσαι ἀνὰ σχοινίων $\overline{\iota\gamma}$, ἡ
δὲ πρὸς ὀρθὰς σχοινίων $\overline{\iota\beta}$· εὑρεῖν αὐτῶν τὸ ἐμβαδόν.
ποίει οὕτως· τὰ $\overline{\iota}$ τῆς βάσεως ἐπὶ τὰ $\overline{\iota\beta}$ τῆς πρὸς
ὀρθάς· γίνονται $\overline{\rho\kappa}$· ὧν τὸ ∟′· γίνονται $\overline{\xi}$· τοσούτων
σχοινίων ἐστὶ τὸ ἐμβαδόν. ὧν τὸ ∟′· γίνονται $\overline{\lambda}$· καὶ
ἔστι γῆς μοδίων $\overline{\lambda}$.

5 Ἐὰν δὲ θέλῃς ἀπὸ τῆς βάσεως τὴν κάθετον εὑρεῖν,
ποίει οὕτως· τῶν $\overline{\iota}$ τῆς βάσεως τὸ ∟′· γίνονται $\overline{\varepsilon}$· ταῦτα
ἐφ' ἑαυτά· γίνονται $\overline{\kappa\varepsilon}$· καὶ τὰ $\overline{\iota\gamma}$ τῆς ὑποτεινούσης
ἐφ' ἑαυτά· γίνονται $\overline{\rho\xi\vartheta}$. ἐξ ὧν λαβὲ τὰ $\overline{\kappa\varepsilon}$· λοιπὰ
$\overline{\rho\mu\delta}$· ὧν πλευρὰ τετράγωνος γίνεται $\overline{\iota\beta}$· τοσούτων σχοι-
νίων ἐστὶν ἡ κάθετος.

10 Περὶ τριγώνων ἰσοπλεύρων.

1 Παντὸς τριγώνου ἰσοπλεύρου τὸ ἐμβαδὸν εὑρεῖν.
ποίει οὕτως· πολυπλασίαζε ἀεὶ τὴν $\overline{\alpha}$ τῶν πλευρῶν
ἐφ' ἑαυτὴν καὶ τοῦ ἀναβιβαζομένου ἀπὸ τοῦ τοιούτου
πολυπλασιασμοῦ λάμβανε μέρος γ′ καὶ ι′· καὶ ἔστι τὸ
2 ἐμβαδὸν τοῦ ἰσοπλεύρου τριγώνου. οἷον ὡς ἐν παρα-
δείγματι ἔστω τριγώνου ἰσοπλεύρου ἑκάστη τῶν πλευ-
ρῶν σχοινίων $\overline{\iota}$· εὑρεῖν τὸ ἐμβαδόν. ποίησον οὕτως·

der Rauminhalt des rechtwinkligen Dreiecks ist. Es sei 3
z. B. die Grundlinie eines rechtwinkligen Dreiecks = 20
Schoinien, die Kathete oder die Senkrechte = 15 Schoinien
und die Hypotenuse = 25 Schoinien; zu finden seinen Raum-
inhalt. Mache so: $\frac{1}{2}$ Grundlinie oder 10 $\times$ 15 der Kathete
= 150; so viel Schoinien ist der Rauminhalt. $\frac{1}{2} \times 150$
= 75; und er ist 75 Modien Land.

Zwei zusammengelegte rechtwinklige Dreiecke, deren 4
Grundlinien je = 5 Schoinien, die Hypotenusen je = 13 Schoinien, die Senkrechte = 12 Schoinien; zu finden ihren Rauminhalt. Mache so: 10 der Grundlinie $\times$ 12 der Senkrechten = 120, $\frac{1}{2} \times 120 = 60$; so viel Schoinien ist der Rauminhalt. $\frac{1}{2} \times 60 = 30$; und er ist 30 Modien Land.

Wenn du aber aus der Grundlinie die Kathete finden 5
willst, mache so: $\frac{1}{2} \times 10$ der Grundlinie $= 5$, $5 \times 5 = 25$, 13 der Hypotenuse $\times\, 13 = 169$, $169 \div 25 = 144$, $\sqrt{144} = 12$; so viel Schoinien ist die Kathete.

Von gleichseitigen Dreiecken. 10

Zu finden den Rauminhalt eines beliebigen gleichseitigen 1
Dreiecks. Mache so: multipliziere immer die eine der Seiten
mit sich selbst und nimm von dem durch diese Multiplikation
Erzeugten $\frac{1}{3} + \frac{1}{10}$; und es ist der Rauminhalt des gleich-
seitigen Dreiecks. Es sei z. B. in einem gleichseitigen Dreieck 2

---

1 τὸ] A, om. C. 2 γίνωσκε εἶναι] C, ἔσται A. 3 οἷον —ὀρθογωνίου] C, ὡς γίνεσθαι καὶ τοῦ παρόντος τριγώνου τὸ ἐμβαδὸν μονάδων ἑξήκοντα. ἕτερον τρίγωνον ὀρθογώνιον οὗ A. 4 ἡ (pr.)] C, ἡ δὲ A. 5 καὶ ἡ] C, ἡ δὲ A. σχοινία C. 6 οὕτως] C, om. A. 7 πολυπλασίασον] C, σχοινία A. καθέτου] C, πρὸς ὀρθάς A. 8 τοσούτων σχοινίων] C, καὶ A. ὧν τὸ] C, αὐτοῦ σχοινίων τοσούτων ὧν A. 11 αἱ] C, καὶ αἱ A. 12 σχοινίων] comp. A, σχοινία C. 15 ἐστὶ] C, ἔσται A. ὧν τὸ ∠′] C, πάλιν τὸ ἥμισυ τῶν ἑξήκοντα A. 18 γίνονται] C, comp. A. 22 ἐστὶν] C, ἔσται A. 25 ποίει οὕτως] C, om. A. 27 λάμβανε] C, ἀριθμοῦ λάμβανε A. γ′ καὶ ι′] C, γ′ ι′ A. ἔστι] C, ἔσται A. 30 σχοινία C. τὸ] C, αὐτοῦ τὸ A.

τὰ ῑ τῆς ᾱ πλευρᾶς ἐφ' ἑαυτά· γίνονται ρ̄· ὧν τὸ γ'·
γίνονται λ̅γ̅ γ'· καὶ τὸ ι'· γίνονται ῑ· σύνθες τὰ λ̅γ̅ γ'
καὶ τὰ ῑ· γίνονται μ̅γ̅ γ'· τοσούτων σχοινίων τὸ ἐμ-
βαδὸν τοῦ ἰσοπλεύρου τριγώνου.
3 Τριγώνου δὲ ἰσοπλεύρου τὴν κάθετον εὑρεῖν. ποίει
οὕτως· ὕφελε ἀεὶ τὸ ι' καὶ λ' τῆς πλευρᾶς καὶ τὸ
4 λοιπὸν γίνωσκε εἶναι τὸν ἀριθμὸν τῆς καθέτου. εἶτα
πολυπλασίαζε τὸ ∟' τῆς βάσεως ἐπὶ τὴν κάθετον· καὶ
τὸ ἀπὸ τοῦ πολυπλασιασμοῦ συναγόμενόν ἐστι τὸ ἐμ-
βαδόν. οἷον ὡς ἐν ὑποδείγματι ἔστω τριγώνου ἰσο-
πλεύρου ἑκάστη τῶν ἴσων πλευρῶν σχοινίων ῑ. μιᾶς
δὲ πλευρᾶς τὸ ι'· γίνεται ᾱ· καὶ τὸ λ'· γίνεται γ'·
ταῦτα ἤγουν τὸ ᾱ γ' ὑπέξαιρε ἀπὸ τῶν ῑ· λοιπὰ η̄ ϣ'·
τοσούτου ἀριθμοῦ ἐστιν ἡ κάθετος.
5 Τὸ δὲ ἐμβαδὸν εὑρεῖν. ποίησον οὕτως· τὸ ∟' τῆς
βάσεως ἤγουν τὰ πέντε σχοινία πολυπλασίασον ἐπὶ τὰ
η̄ ϣ' τῆς καθέτου· γίνονται μ̅γ̅ γ'· καὶ ἔστιν καὶ οὕτως
τὸ ἐμβαδὸν σχοινίων μ̅γ̅ γ'. ὧν τὸ ∟'· γίνονται κ̅α̅ ϣ'·
καὶ ἔστι γῆς μοδίων κ̄ πρὸς τῷ ἑνὶ καὶ λιτρῶν εἰκοσιὲξ
διμοίρου.
6 Ἕτερον τρίγωνον ἰσόπλευρον, οὗ ἑκάστη τῶν πλευ-
ρῶν σχοινίων ι̅β̅· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. ποίησον
τὰ ι̅β̅ τῆς μιᾶς πλευρᾶς ἐφ' ἑαυτά· γίνονται ρ̅μ̅δ̅·
τούτων τὸ γ'· γίνονται μ̅η̅· καὶ τὸ ι' ι̅δ̅ γ' ιε'· ὁμοῦ
7 ξ̅β̅ γ' ιε'· καὶ ἔστι τὸ ἐμβαδὸν σχοινίων τοσούτων. τὴν
δὲ κάθετον αὐτοῦ εὑρεῖν. ποίησον οὕτως· ἄφελε
ὁμοίως τὸ ι' λ' τῆς μιᾶς τῶν πλευρῶν· καὶ τὸ λοιπόν
ἐστιν ὁ ἀριθμὸς τῆς καθέτου. οἷον ἔστω ἑκάστη τῶν
πλευρῶν ι̅β̅· μιᾶς δὲ πλευρᾶς τὸ ι'· γίνεται ᾱ ε'· καὶ
τὸ λ'· γίνεται γ' ιε'. ταῦτα συνθεὶς εὑρήσεις ᾱ ∟' ι'·
ταῦτα ὑπέξαιρε ἀπὸ τῶν ι̅β̅· λοιπὰ ῑ γ' ιε'· τοσούτων

jede der Seiten $= 10$ Schoinien; zu finden den Rauminhalt.
Mache so: 10 der einen Seite $\times 10 = 100$, $\frac{1}{3} \times 100 = 33\frac{1}{3}$
und $\frac{1}{10} \times 100 = 10$, $33\frac{1}{3} + 10 = 43\frac{1}{3}$; so viel Schoinien
ist der Rauminhalt des gleichseitigen Dreiecks.

Die Kathete eines gleichseitigen Dreiecks zu finden. 3
Mache so: subtrahiere immer $\frac{1}{10} + \frac{1}{30}$ der Seite, und wisse,
daß der Rest die Zahl der Kathete ist.*) Multipliziere dann
$\frac{1}{2}$ Grundlinie mit der Kathete, und das durch die Multi-
plikation Erzeugte ist der Rauminhalt. Es sei z. B. in einem 4
gleichseitigen Dreieck jede der gleichen Seiten $= 10$ Schoi-
nien. $\frac{1}{10}$ einer Seite $= 1$, $\frac{1}{30} \times 10 = \frac{1}{3}$, $10 \div 1\frac{1}{3} = 8\frac{2}{3}$;
so groß ist die Kathete.

Und den Rauminhalt zu finden. Mache so: $\frac{1}{2}$ Grund- 5
linie oder 5 Schoinien $\times 8\frac{2}{3}$ der Kathete $= 43\frac{1}{3}$; und der
Rauminhalt ist auch so $43\frac{1}{3}$ Schoinien. $\frac{1}{2} \times 43\frac{1}{3} = 21\frac{2}{3}$;
und er ist 21 Modien Land $+ 26\frac{2}{3}$ Liter.

Ein anderes gleichseitiges Dreieck, in dem jede der 6
Seiten $= 12$ Schoinien; zu finden seinen Rauminhalt. 12 der
einen Seite $\times 12 = 144$, $\frac{1}{3} \times 144 = 48$, $\frac{1}{10} \times 144$
$= 14\frac{1}{3}\frac{1}{15}$, $48 + 14\frac{1}{3}\frac{1}{15} = 62\frac{1}{3}\frac{1}{15}$; und es ist der Raum-
inhalt so viel Schoinien. Und dessen Kathete zu finden. 7
Mache so: subtrahiere ebenso $\frac{1}{10} + \frac{1}{30}$ einer der Seiten, und
der Rest ist die Zahl der Kathete. Es sei z. B. jede Seite

*) $\sqrt{3} = \frac{26}{15}$.

5 *ποίει οὕτως*] C, om. A. 6 *ὕφειλε* C. *καὶ*] C, om. A. *πλευρᾶς*] C, *μιᾶς τῶν πλευρῶν* A. 7 *γίνωσκε—ἀριθμὸν*] C, *ἔσται ὁ ἀριθμὸς* A. *εἶτα—9 ἐμβαδόν*] C, om. A. 9 *τὸ* (pr.)] Hultsch, om. C. 11 *ἴσων*] C, om. A. *σχοινία* C. 13 $\overline{α}$ *γ'*] *ἓν καὶ τὸ τρίτον* A. *ὑπέξαιρε*] *ὑφέξαιρε* C, *ὑφεξαίρει* A. ω'] *δίμοιρον* A, ut solet. 14 *τοσούτου—ἐστιν*] C, *τοσούτων σχοινίων* A. *τοσούτου—17* $\overline{η}$ ω'] bis C. 14 *κάθεκτος* C. 17 *καὶ—18 γ'*] C, *τοσούτων σχοινίων ἔσται τὸ ἐμβαδὸν τοῦ αὐτοῦ ἰσοπλεύρου τριγώνου* A. 19 *εἰκοσιὲξ διμοίρου*] C, $\overline{κϛ}$ ω' A. 21 *ἕτερον—τῶν*] bis C, sed corr. 22 *ποίησον*] C, *ποίει οὕτως* A. 24 *ιε'*] om. C. 25 *καὶ—τοσούτων*] C, *τοσούτων σχοινίων ἔσται τὸ ἐμβαδὸν αὐτοῦ* A. 26 *αὐτοῦ εὑρεῖν*] A, *εὑρεῖν αὐτοῦ* C. *ποίησον — 27 ὁμοίως*] C, *ἄφελε* A. 28 *ἐστιν*] C, *ἔσται* A. *ἑκάστη*] A, *ἑκάστου* C. 29 $\overline{ιβ}$] C, *σχοινίων* $\overline{ιβ}$ A. *πλευρᾶς*] A, *τῆς πλευρᾶς* C. $\overline{α}$] A, *ἓν* C. 31 *ὑπέξαιρε*] C, *ὑπεξαίρει* A.

8 *σχοινίων ἡ κάθετος. εἶτα πολυπλασίασον τὸ ∟′ τῆς βάσεως ἐπὶ τὴν κάθετον, τὰ ς̅ ἐπὶ τὰ ι̅ γ′ ιε′· καὶ οὕτως γίνονται ξ̅β̅ γ′ ιε′· καὶ ἔστι τὸ ἐμβαδὸν σχοινίων τοσούτων. ὧν τὸ ∟′· γίνονται λ̅α̅ ε′· καὶ ἔστιν γῆς μοδίων λ̅α̅ καὶ λιτρῶν η̅.*

9 *Ἕτερον τρίγωνον ἰσόπλευρον, οὗ ἑκάστη πλευρὰ ἀνὰ σχοινίων λ̅· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. ποίησον οὕτως· τὰ λ̅ τῆς μιᾶς πλευρᾶς ἐφ' ἑαυτά· γίνονται ϡ̅· ὧν τὸ γ′ καὶ ι′· γίνονται τ̅ϙ̅· τοσούτων σχοινίων τὸ ἐμβαδόν.*

10 *Ἐὰν δὲ θέλῃς καὶ ἄλλως εὑρεῖν τὸ ἐμβαδόν, λαβὲ τῶν λ̅ τὸ γ′ καὶ τὸ ι′· γίνονται ι̅γ̅· ταῦτα ἐπὶ τὴν πλευρὰν ἤγουν τὰ λ̅· γίνονται τ̅ϙ̅· τοσούτων ἔσται σχοινίων τὸ ἐμβαδόν.*

11 *Ἐὰν θέλῃς καὶ ἄλλως τὸ ἐμβαδὸν εὑρεῖν, τὰ λ̅ ἐφ' ἑαυτά· γίνονται ϡ̅· ταῦτα ἐπὶ τὰ ι̅γ̅· γίνονται α̈ ͵αψ· ὧν τὸ λ′ τ̅ϙ̅· τοσούτων ἔσται σχοινίων τὸ ἐμβαδόν.*

C *[Ἔτι δὲ καὶ ἄλλως εὑρεῖν τὸ ἐμβαδόν. λαβὲ τὰ λ̅ τῆς μιᾶς πλευρᾶς καὶ πολυπλασίασον ἐπὶ τὰ κ̅ς̅ τῆς καθέτου· γίνονται ψ̅π̅· ὧν τὸ ἥμισυ· γίνονται τ̅ϙ̅· τοσούτων ἔσται σχοινίων τὸ ἐμβαδόν.]*

AC 12 *Ἐὰν δὲ θέλῃς τριγώνου ἰσοπλεύρου τὴν κάθετον εὑρεῖν· ἔστι δὲ ἑκάστη πλευρὰ ἀνὰ σχοινίων λ̅· ποίει οὕτως· τὴν μίαν πλευρὰν ἐφ' ἑαυτήν· γίνονται ϡ̅· ὧν τὸ δ′· γίνονται σ̅κ̅ε̅· λοιπὰ χ̅ο̅ε̅· ὧν πλευρὰ τετράγωνος κ̅ς̅ ὡς σύνεγγυς· ἔσται ἡ κάθετος σχοινίων κ̅ς̅.*

A 13 *[Ἄλλως εἰς τοῦτο. λαμβάνω τῆς βάσεως τὸ ἥμισυ· γίνονται ι̅ε̅· ταῦτα πολυπλασιάζω ἐφ' ἑαυτά· γίνονται σ̅κ̅ε̅. καὶ τὰ λ̅ τοῦ σκέλους ἐφ' ἑαυτά· γίνονται ϡ̅· ἀπὸ τούτων ὑφαιρῶ τὰ σ̅κ̅ε̅· λοιπὰ χ̅ο̅ε̅· ὧν πλευρὰ τετραγωνικὴ ὡς σύνεγγυς γίνεται κ̅ς̅· ἔσται οὖν ἡ*

$= 12$; $\frac{1}{10}$ einer Seite $= 1\frac{1}{5}$, $\frac{1}{30} \times 12 = \frac{1}{3}\frac{1}{15}$, $1\frac{1}{5} + \frac{1}{3}\frac{1}{15}$
$= 1\frac{1}{2}\frac{1}{10}$, $12 \div 1\frac{1}{2}\frac{1}{10} = 10\frac{1}{3}\frac{1}{15}$; so viel Schoinien die Kathete.
$\frac{1}{2}$ Grundlinie $\times$ die Kathete oder $6 \times 10\frac{1}{3}\frac{1}{15} = 62\frac{1}{3}\frac{1}{15}$, wie 8
oben; und es ist der Rauminhalt so viel Schoinien. Davon $\frac{1}{2} = 31\frac{1}{5}$; und er ist 31 Modien Land + 8 Liter.

Ein anderes gleichseitiges Dreieck, in dem jede Seite 9
$= 30$ Schoinien; zu finden seinen Rauminhalt. Mache so: $30 \times 30 = 900$, $(\frac{1}{3} + \frac{1}{10}) \times 900 = 390$; so viel Schoinien der Rauminhalt.

Wenn du aber auch auf andere Weise den Rauminhalt 10
finden willst, so nimm $(\frac{1}{3} + \frac{1}{10}) \times 30 = 13$, $13 \times$ Seite oder $13 \times 30 = 390$; so viel Schoinien wird der Rauminhalt sein.

Wenn du auch auf andere Weise den Rauminhalt finden 11
willst, mache $30 \times 30 = 900$, $900 \times 13 = 11700$; $\frac{1}{30} \times 11700 = 390$; so viel Schoinien wird der Rauminhalt sein.

[Und noch auf andere Weise den Rauminhalt zu finden. Nimm 30 der einen Seite $\times$ 26 der Kathete $= 780$; $\frac{1}{2} \times 780 = 390$; so viel Schoinien wird der Rauminhalt sein.]

Wenn du aber die Kathete eines gleichseitigen Dreiecks 12
finden willst (jede Seite $= 30$ Schoinien), mache so: Seite $\times$ Seite $= 900$, $\frac{1}{4} \times 900 = 225$, $900 \div 225 = 675$, $\sqrt{675} = 26$ annähernd; die Kathete wird 26 Schoinien sein.

[Dies auf andere Weise. Ich nehme $\frac{1}{2}$ Grundlinie $= 15$, 13
$15 \times 15 = 225$, 30 des Schenkels $\times 30 = 900$, $900 \div 225$

1 εἶτα] C, τὸ δὲ ἐμβαδὸν εὑρεῖν. λαβὲ τὸ ἥμισυ τῆς βάσεως· γι. σχοινία $\overline{ϛ}$· ταῦτα A. τὸ—2 βάσεως] om. A. 2 τὰ $\overline{ϛ}$] ἤγουν A. καὶ οὕτως γίνονται] C, γίνονται καὶ οὕτως A. 3 ἐμβαδὸν] C, ἐμβαδὸν τοῦ αὐτοῦ ἰσοπλεύρου τριγώνου A. 4 ἔστιν] C, comp. A. γῆς] A, γῇ C. 7 ποίει A. 8 τῆς μιᾶς πλευρᾶς] C, om. A. 9 καὶ] C, καὶ τὸ A. τοσούτων] C, τοσούτων ἔσται A. 11 θέλεις C. 12 γίνονται] A, om. C. $\overline{ιγ}$] A, om. C. τὴν—13 ἤγουν] C, om. A. 15 ἐὰν] C, ἐὰν δὲ A. εὑρεῖν τὸ ἐμβαδόν A. 16 ταῦτα] C, ταῦτα πολυπλασίασον A. 17 λ′] C, λ′ γίνεται A. 18 ἔτι—21 ἐμβαδόν] C, om. A. 26 $\overline{κϛ}$—$\overline{κϛ}$] C, γι. $\overline{κϛ}$· τοσούτων ἔσται σχοινίων ἡ κάθετος A. 27 Ἄλλως—228, 1 εἰκοσιέξ] A, om. C. 30 $\overline{χκε}$ A.

κάθετος σχοινίων εἰκοσιέξ.] ταῦτα πολυπλασίασον ἐπὶ τὴν βάσιν, τουτέστιν ἐπὶ τὰ λ̅· γίνονται ψ̅π̅· ὧν τὸ ∟′ τ̅ϙ̅· καὶ μένει αὐτοῦ τὸ ἐμβαδὸν σχοινίων τ̅ϙ̅. τούτων πάλιν τὸ ∟′· γίνονται ρ̅ϙ̅ε̅· καὶ ἔστι γῆς μοδίων ρ̅ϙ̅ε̅.

11 *Περὶ τριγώνων ἰσοσκελῶν.*

SV

1 *Τρίγωνον ἰσοκελές, οὗ ἡ κάθετος ποδῶν κ̅, ἡ δὲ βάσις ποδῶν ι̅β̅· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. ποιῶ οὕτως· τὴν βάσιν ἐπὶ τὴν κάθετον· γίνονται πόδες σ̅μ̅· ὧν τὸ ἥμισυ· γίνονται πόδες ρ̅κ̅. ἔστω τὸ ἐμβαδὸν ποδῶν ρ̅κ̅.*

2 *Τριγώνου ἰσοσκελοῦς ἑκάστη τῶν ἴσων πλευρῶν ποδῶν κ̅ε̅, ἡ δὲ βάσις ποδῶν ι̅δ̅· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδὸν καὶ τὴν κάθετον. ποιῶ οὕτως· ἑκάστης πλευρᾶς ποίησον τετράγωνον· γίνονται πόδες χ̅κ̅ε̅· λαμβάνω τὸ ∟′ τῆς βάσεως· γίνονται πόδες ζ̅· ταῦτα ἐφ' ἑαυτά· γίνονται πόδες μ̅ϑ̅· λοιπὸν μένουσι πόδες φ̅ο̅ϛ̅· ὧν πλευρὰ τετραγωνικὴ γίνεται ποδῶν κ̅δ̅.*

AC

Τρίγωνον ἰσοσκελὲς μετρεῖται οὕτως· ἔστω τριγώνου ἰσοσκελοῦς ἑκάστη τῶν ἴσων πλευρῶν σχοινίων ε̅, ἡ δὲ βάσις σχοινίων ϛ̅· εὑρεῖν τὴν κάθετον. ποίησον οὕτως· πολυπλασίασον τὴν μίαν τῶν ἴσων πλευρῶν ἐφ' ἑαυτήν· γίνονται κ̅ε̅· καὶ τὸ ∟′ τῆς βάσεως ἤγουν τὰ γ̅ ἐφ' ἑαυτά· γίνονται ϑ̅. εἶτα ὑπέξελε τὰ ϑ̅ ἀπὸ τῶν κ̅ε̅· λοιπὰ ι̅ϛ̅· ὧν πλευρὰ τετραγωνικὴ δ̅· τοσούτων σχοινίων ἡ κάθετος. 1

τὸ δὲ ἐμβαδὸν εὑρεῖν. ποίησον οὕτως· τὸ ∟′ τῆς βάσεως πολυπλασίασον ἐπὶ τὴν κάθετον ἤγουν τὰ γ̅ ἐπὶ τὰ δ̅· γίνονται ι̅β̅· καὶ ἔστιν αὐτοῦ τὸ ἐμβαδὸν σχοινίων ι̅β̅. ὧν τὸ ∟′· 2

1 *πολυπλασιάζω* A. 3 ∟′] C, *ἥμισυ γίνεται* A. τ̅ϙ̅—4 ∟′] AD, om. C. 3 *τούτων πάλιν*] A, *ὧν* D. 5 AC, om. SV.

$= 675$, $\sqrt{675} = 26$ annähernd; also wird die Kathete 26 Schoinien sein.] $26 \times$ Grundlinie, d. h. $26 \times 30 = 780$, $\frac{1}{2} \times 780 = 390$; und sein Rauminhalt bleibt 390 Schoinien. $\frac{1}{2} \times 390 = 195$; und er ist 195 Modien Land.

Von gleichschenkligen Dreiecken. 11

1 Ein gleichschenkliges Dreieck, dessen Kathete $= 20$ Fuß, die Grundlinie $= 12$ Fuß; zu finden seinen Rauminhalt. Ich mache so: Grundlinie $\times$ Kathete $= 240$ Fuß, $\frac{1}{2} \times 240 = 120$ Fuß; es sei der Rauminhalt 120 Fuß.



Fig. 7.

2 In einem gleichschenkligen Dreieck jede der gleichen Seiten $= 25$ Fuß, die Grundlinie $= 14$ Fuß; zu finden seinen Rauminhalt und die Kathete. Ich mache so: die Seite in Quadrat $= 625$ Fuß, $\frac{1}{2}$ Grundlinie $= 7$



Fig. 8.

1 Ein gleichschenkliges Dreieck wird so gemessen. Es sei in einem gleichschenkligen Dreieck jede der gleichen Seiten $= 5$ Schoinien, die Grundlinie $= 6$ Schoinien; zu finden die Kathete. Mache so: multipliziere eine der gleichen Seiten mit sich selbst; macht 25; $\frac{1}{2}$ Grundlinie oder $3 \times 3 = 9$; $25 \div 9 = 16$; $\sqrt{16} = 4$; so viel Schoinien die Kathete.

2 Und den Rauminhalt zu finden. Mache so: $\frac{1}{2}$ Grundlinie $\times$ Kathete oder $3 \times 4 = 12$; und es ist sein Rauminhalt $= 12$ Schoinien. $\frac{1}{2} \times 12 = 6$; und er ist 6 Modien Land.

---

1 *τριγώνου* S. *ἰσοσκελοῦς* SV. 2 *πόδας* S. 3 *π̊* S, ut saepius. 4 *πωιῶ* S, sed corr. 10 *τρίγωνον* V. 12 Ante pr. *ποδῶν* del. *ἕκαστον* S. 15 *ἑκάστης*] *τῆς* Hultsch.

6 *τὴν*] C, *αὐτοῦ τὴν* A. 10 *ἑαυτά* C. *γίνονται*] C, *γίνεται* A. 15 *δ̄*] *δ΄* C, *γίνεται τέσσαρα* A. 17 *εὑρεῖν*] C, *αὐτοῦ εὑρεῖν* A.

καὶ τὰ ξ ἐπὶ τὴν κάθετον γίνονται ϛ· καὶ ἔστι γῆς πόδες ρξη· τοσούτων ἔστω μοδίων ϛ· τὸ ἐμβαδόν.

AC

3 Ὡσαύτως ἔστω καὶ ἑτέρου τριγώνου ἰσοσκελοῦς ἑκάστη τῶν ἴσων πλευρῶν σχοινίων ε, ἡ δὲ βάσις σχοινίων η· εὑρεῖν τὴν κάθετον. ποίησον οὕτως· πολυπλασίασον τὴν μίαν τῶν ἴσων πλευρῶν ἐφ᾽ ἑαυτήν· γίνονται κε· καὶ τὸ ∟′ τῆς βάσεως τὰ δ ἐφ᾽ ἑαυτά· γίνονται ιϛ. ταῦτα ὑπέξελε ἀπὸ τοῦ κατὰ τὴν πλευρὰν πολυπλασιασμοῦ ἤγουν τῶν κε· λοιπὰ θ· ὧν πλευρὰ τετραγωνικὴ γίνεται γ· τοσούτων σχοινίων ἡ κάθετος.

4 τὸ δὲ ἐμβαδὸν εὑρεῖν. πολυπλασίασον τὴν κάθετον ἐπὶ τὸ ∟′ τῆς βάσεως ἤγουν ἐπὶ τὰ δ· καὶ γίνονται ιβ· καὶ ἔστιν τὸ ἐμβαδὸν σχοινίων τοσούτων. ὧν τὸ ∟′· γίνονται ϛ· καὶ ἔστι γῆς μοδίων ϛ. τὸ τοιοῦτον ἰσοσκελὲς τρίγωνον ἴσον ἐστὶ τῷ πρὸ αὐτοῦ.

5 Ἕτερον τρίγωνον ἰσοσκελές, οὗ ἑκάστη τῶν ἴσων πλευρῶν σχοινίων ι, ἡ δὲ βάσις σχοινίων ιβ· εὑρεῖν αὐτοῦ τὴν κάθετον. πολυπλασίασον τὴν μίαν τῶν ἴσων πλευρῶν ἐφ᾽ ἑαυτήν· γίνονται ρ· καὶ τὸ ∟′ τῆς βάσεως ἤγουν τὰ ϛ ἐφ᾽ ἑαυτά· γίνονται λϛ. ταῦτα ὑπέξελε ἀπὸ τοῦ κατὰ τὴν πλευρὰν πολυπλασιασμοῦ ἤγουν τῶν ρ· λοιπὰ ξδ· ὧν πλευρὰ τετραγωνικὴ γίνεται η· τοσούτων

6 σχοινίων ἐστὶν ἡ κάθετος. εἶτα πολυπλασίασον τὰ η τῆς καθέτου ἐπὶ τὸ ∟′ τῆς βάσεως ἤγουν ἐπὶ τὰ ϛ· γίνονται μη· καὶ ἔστι τὸ ἐμβαδὸν σχοινίων μη. ὧν τὸ ∟′· γίνονται κδ· καὶ ἔστι γῆς μοδίων κδ.

7 Ὁμοίως ἔστω καὶ ἑτέρου τριγώνου ἰσοσκελοῦς ἑκάστη τῶν ἴσων πλευρῶν σχοινίων ι, ἡ δὲ βάσις σχοινίων ιϛ· εὑρεῖν τὴν κάθετον. πολυπλασίασον τὰ ι τῆς μιᾶς

2 ἑκάστη] A, οὗ ἑκάστη C. 3 τὴν] C, αὐτοῦ τὴν A.

Fuß, $7 \times 7 = 49$, $625 \div 49$
$= 576$ Fuß, $\sqrt{576} = 24$ Fuß.
$7 \times$ die Kathete $= 168$ Fuß;
so viel sei der Rauminhalt.

Es sei ebenfalls auch in einem anderen gleichschenk- 3
ligen Dreieck jede der gleichen Seiten $= 5$ Schoinien, die
Grundlinie $= 8$ Schoinien; zu finden die Kathete. Mache
so: multipliziere die eine der gleichen Seiten mit sich selbst,
macht 25; und $\frac{1}{2}$ Grundlinie oder $4 \times 4 = 16$; subtrahiere
dies von dem Produkt der Seite, $25 \div 16 = 9$; $\sqrt{9} = 3$;
so viel Schoinien die Kathete. Und den Rauminhalt zu 4
finden. Die Kathete $\times \frac{1}{2}$ Grundlinie oder $4 = 12$; und es
ist der Rauminhalt so viel Schoinien. $\frac{1}{2} \times 12 = 6$; und
er ist 6 Modien Land. — Ein solches gleichschenkliges
Dreieck ist dem vorhergehenden gleich.

Ein anderes gleichschenkliges Dreieck, in dem jede der 5
gleichen Seiten $= 10$ Schoinien, die Grundlinie $= 12$ Schoi-
nien; zu finden seine Kathete. Multipliziere die eine der
gleichen Seiten mit sich selbst, macht 100; $\frac{1}{2}$ Grundlinie
oder $6 \times 6 = 36$, $100 \div 36 = 64$, $\sqrt{64} = 8$; so viel
Schoinien ist die Kathete. Multipliziere dann 8 der Kathete 6
mit $\frac{1}{2}$ Grundlinie oder 6; macht 48; und es ist der Raum-
inhalt 48 Schoinien. $\frac{1}{2} \times 48 = 24$; und er ist 24 Modien
Land.

Es sei ebenfalls auch in einem anderen gleichschenk- 7
ligen Dreieck jede der gleichen Seiten $= 10$ Schoinien, die

---

4 *πολυπλασίασον*] C, om. A. 5 *γίνονται*] comp. C, *γίνεται* A. *τὰ*] C, *ἤγουν τὰ* A. *ἐφ' ἑαυτά*] *ἐφ' ἑαυτὰ ἔφ*ᵒ C. 6 *τοῦ*—7 *ἤγουν*] C, om. A. 7—8 *τετραγωνικὴ πλευρὰ* C. 9 *εὑρεῖν*] C, *αὐτοῦ εὑρεῖν* A. *τὴν κάθετον ἐπὶ*] *τῆς καθέτου ἐπὶ* C, om. A. 10 *ἤγουν ἐπὶ τὰ δ̅· καὶ*] C, *ἐπὶ τὴν κάθετον ἤγουν τὰ δ̅ ἐπὶ τὰ γ̅* A. 11 *ἔστι* A. *ἐμβαδὸν*] *ἐμβαδὸν αὐτοῦ* A. *τὸ* ∠′] C, *ἥμισυ* A. 12 *τὸ*] *ὁ* A. 16 *τὴν μίαν*—17 *καὶ*] A, om. C. 19 *τοῦ*—*ἤγουν*] C, om. A. 21 *ἐστὶν*] C, *ἔσται* A. *εἶτα*] C, *τὸ δὲ ἐμβαδὸν εὑρεῖν. λαβὲ τὸ ἥμισυ τῆς βάσεως· γίνεται ϛ̅· ταῦτα* A. *τὰ*] C, *ἐπὶ τὰ* A. 22 *ἐπὶ τὸ*—ϛ̅] C, om. A. 23 *ἐμβαδὸν*] C, *ἐμβαδὸν αὐτοῦ* A. 27 *εὑρεῖν*] C, *εὑρεῖν αὐτοῦ* A.

τῶν ἴσων πλευρῶν ἐφ' ἑαυτά· γίνονται ρ̅· καὶ τὸ ∟'
τῆς βάσεως ἤγουν τὰ η̅ ἐφ' ἑαυτά· γίνονται ξδ̅. ταῦτα
ἀφαίρει ἀπὸ τῶν ρ̅· λοιπὰ λϛ̅· ὧν πλευρὰ τετραγωνικὴ
8 ϛ̅· τοσούτων ἐστὶν ἡ κάθετος. εἶτα πολυπλασίασον τὸ
∟' τῆς βάσεως ἐπὶ τὴν κάθετον ἤγουν τὰ η̅ ἐπὶ τὰ ϛ̅·
γίνονται μη̅· καὶ ἔστι τὸ ἐμβαδὸν σχοινίων μη̅. ὧν τὸ
∟'· γίνονται κδ̅· καὶ ἔστιν γῆς μοδίων κδ̅. καὶ τὸ παρὸν
ἰσοσκελὲς τρίγωνον ἴσον ἐστὶ τῷ πρὸ αὐτοῦ τριγώνῳ.
9 Ἕτερον τρίγωνον ἰσοσκελές, οὗ ἡ μὲν βάσις σχοι-
νίων ιδ̅, τὰ δὲ σκέλη ἀνὰ σχοινίων κε̅· εὑρεῖν αὐτοῦ
τὴν κάθετον. ποίει οὕτως· λαβὲ τῆς βάσεως τὸ ἥμισυ·
γίνονται ζ̅· ταῦτα ἐφ' ἑαυτά· γίνονται μθ̅· καὶ τὰ κε̅
ἐφ' ἑαυτά· γίνονται χκε̅· ἐξ ὧν λαβὲ τὰ μθ̅· λοιπὰ
φοϛ̅· ὧν πλευρὰ τετράγωνος γίνεται κδ̅· τοσούτων
10 ἔσται σχοινίων ἡ κάθετος. ἐὰν δὲ θέλῃς καὶ τὸ ἐμ-
βαδὸν εὑρεῖν, λαβὲ τῶν ιδ̅ τῆς βάσεως τὸ ∟'· γίνονται
ζ̅· ταῦτα ἐπὶ τὰ κδ̅ τῆς καθέτου ἤγουν τῆς πρὸς ὀρθάς·
γίνονται ρξη̅· τοσούτων ἔσται τὸ ἐμβαδὸν τοῦ τοιούτου
ἰσοσκελοῦς τριγώνου.
11 Ἔστω καὶ ἑτέρου ἰσοσκελοῦς τριγώνου ἡ βάσις
σχοινίων μη̅, τὰ δὲ σκέλη ἀνὰ σχοινίων κε̅· εὑρεῖν
αὐτοῦ τὴν κάθετον. ποίει οὕτως· λαβὲ τῆς βάσεως τὸ
∟'· γίνονται κδ̅· ταῦτα ἐφ' ἑαυτά· γίνονται φοϛ̅· καὶ
τὰ κε̅ ἐφ' ἑαυτά· γίνονται χκε̅· ἐξ ὧν λαβὲ τὰ φοϛ̅·
λοιπὰ μθ̅· ὧν πλευρὰ τετράγωνος γίνεται ζ̅· τοσούτων
12 ἔσται σχοινίων ἡ κάθετος. τὸ δὲ ἐμβαδὸν εὑρεῖν. λαβὲ
τῶν μη̅ τῆς βάσεως τὸ ∟'· γίνονται κδ̅· ταῦτα ἐπὶ τὰ
ζ̅ τῆς πρὸς ὀρθάς· γίνονται ρξη̅· τοσούτων ἔσται σχοι-
νίων τὸ ἐμβαδὸν τοῦ αὐτοῦ τριγώνου. ὧν τὸ ∟'·
γίνονται πδ̅· καὶ ἔστι γῆς μοδίων πδ̅. καὶ τὸ παρὸν
ἰσοσκελὲς τρίγωνον ἴσον ἐστὶ τῷ πρὸ αὐτοῦ.

Grundlinie aber $= 16$ Schoinien; zu finden die Kathete. 10 der einen der gleichen Seiten $\times 10 = 100$; $\frac{1}{2}$ Grundlinie oder $8 \times 8 = 64$, $100 \div 64 = 36$, $\sqrt{36} = 6$; so viel ist die Kathete. Multipliziere dann $\frac{1}{2}$ Grundlinie mit der Kathete 8
oder 8×6, macht 48; und es ist der Rauminhalt 48 Schoinien. $\frac{1}{2} \times 48 = 24$; und er ist 24 Modien Land. — Auch das vorhandene gleichschenklige Dreieck ist dem vorhergehenden Dreieck gleich.

Ein anderes gleichschenkliges Dreieck, dessen Grund- 9
linie $= 14$ Schoinien, die Schenkel je $= 25$ Schoinien; zu finden seine Kathete. Mache so: $\frac{1}{2}$ Grundlinie $= 7$, $7 \times 7 = 49$, $25 \times 25 = 625$, $625 \div 49 = 576$, $\sqrt{576} = 24$; so viel Schoinien wird die Kathete sein. Wenn du aber auch 10
den Rauminhalt finden willst, nimm $\frac{1}{2}$ der 14 der Grundlinie $= 7$; 7×24 der Kathete oder der Senkrechten $= 168$; so viel wird der Rauminhalt eines solchen gleichschenkligen Dreiecks sein.

Es sei ferner in einem anderen gleichschenkligen Dreieck 11
die Grundlinie $= 48$ Schoinien, die Schenkel je $= 25$ Schoinien; zu finden seine Kathete. Mache so: nimm $\frac{1}{2}$ Grundlinie $= 24$; $24 \times 24 = 576$, und $25 \times 25 = 625$, $625 \div 576 = 49$, $\sqrt{49} = 7$; so viel Schoinien wird die Kathete sein. Und den Rauminhalt zu finden. $\frac{1}{2}$ der 48 der Grundlinie 12
$= 24$, 24×7 der Senkrechten $= 168$; so viel Schoinien wird der Rauminhalt desselben Dreiecks sein. $\frac{1}{2} \times 168 = 84$; und er ist 84 Modien Land. — Auch das vorliegende gleichschenklige Dreieck ist dem vorhergehenden gleich.

---

1 *τὸ*] A, *τὰ* C. 4 $\overline{\varsigma}$] C, *γίνεται* $\overline{\varsigma}$ A. *τοσούτων*] C, *τοσούτων σχοινίων* A. *τὸ*] A, *τὰ* C. 5 *ἐπὶ τῆς βάσεως τὴν* C. *ἤγουν*] C, *τουτέστι* A. 6 *ἐμβαδὸν*] C, *ἐμβαδὸν αὐτοῦ* A. 7 *ἔστι* A. *γῆς*] A, *γῆ* C. 12 $\overline{κε}$] C, $\overline{κε}$ *τοῦ σκέλους* A. 14 *τετράγωνος*] A, *τετράγωνον* C. 15 *δὲ*] A, om. C. 17 *τῆς καθέτου ἤγουν*] C, om. A. 18 *τὸ*] C, *σχοινίων τὸ* A. 20—31 bis C (CC^b). 20 *ἕτερον ἰσοσκελὲς* CC^b. 22 *τὸ*] *τὰ* CC^b. 23 *γίνονται* (alt.)] om. C^b. 24 $\overline{κε}$] CC^b, $\overline{κε}$ *τοῦ σκέλους* A. *ἐξ*—26 *κάθετος*] om. C^b. 26 *εὑρεῖν*] CC^b, *αὐτοῦ εὑρεῖν* A. 30 *γίνονται*] AC^b, om. C. *καὶ ἔστι*—31 *αὐτοῦ*] AC, om. C^b.

12 Περὶ τριγώνων σκαληνῶν.

1 Ἔστω τρίγωνον σκαληνὸν ὀξυγώνιον, οὗ ἡ μὲν ἥττων πλευρὰ σχοινίων ιγ, ἡ δὲ βάσις σχοινίων ιδ, ἡ δὲ ὑποτείνουσα σχοινίων ιε· εὑρεῖν αὐτοῦ τὴν κάθετον. ποίει οὕτως· πολυπλασίασον τὰ ιγ τῆς ἥττονος πλευρᾶς ἐφ' ἑαυτά· γίνονται ρξθ· καὶ τὰ ιδ τῆς βάσεως ἐφ' ἑαυτά· γίνονται ρϙϛ· καὶ τὰ ιε τῆς ὑποτεινούσης ἐφ' ἑαυτά· γίνονται σκε. εἶτα σύνθες τὸν τῆς βάσεως πολυπλασιασμὸν καὶ τὸν τῆς ὑποτεινούσης ἤγουν τὰ ρϙϛ καὶ τὰ σκε· γίνονται υκα· ἀφ' ὧν ἀφαίρει τὸν πολυπλασιασμὸν τῆς ἥττονος πλευρᾶς ἤγουν τὰ ρξθ· λοιπὰ σνβ· ὧν ∠′ γίνεται ρκϛ. ταῦτα μέρισον παρὰ τὰ ιδ τῆς βάσεως· γίνονται θ· τοσούτων σχοινίων ἡ ἀποτομή. ταῦτα ἐφ' ἑαυτά· γίνονται πα· τὰ πα ἀφαίρει ἀπὸ τοῦ κατὰ τὴν ὑποτείνουσαν πλευρὰν πολυπλασιασμοῦ, τουτέστι τῶν σκε· λοιπὰ ρμδ· ὧν πλευρὰ τετραγωνικὴ ιβ· τοσούτων ἐστὶ σχοινίων ἡ κάθετος.

2 Ἄλλως. σύνθες τὸν τῆς βάσεως πολυπλασιασμὸν καὶ τὸν τῆς ἥττονος πλευρᾶς ἤγουν τὰ ρϙϛ καὶ τὰ ρξθ· γίνονται τξε· ἀφ' ὧν ἀφαίρει τὸν τῆς ὑποτεινούσης πλευρᾶς πολυπλασιασμὸν ἤγουν τὰ σκε· λοιπὰ ρμ· τούτων τὸ ∠′ ο· ὧν τὸ ιδ′ ε· τοσούτων σχοινίων ἡ ἀποτομή. ταῦτα ἐφ' ἑαυτά· γίνονται κε· τὰ κε ἀφαίρει ἀπὸ τῶν ρξθ· λοιπὰ ρμδ· ὧν πλευρὰ τετραγωνικὴ γίνεται ιβ· τοσούτων σχοινίων ἡ κάθετος.

3 Τὸ δὲ ἐμβαδὸν εὑρεῖν. ποίησον οὕτως· λαβὲ τὸ ∠′ τῆς βάσεως· γίνονται ζ· ταῦτα πολυπλασίασον ἐπὶ τὴν κάθετον ἤγουν ἐπὶ τὰ ιβ· γίνονται πδ· τοσούτων ἔσται τὸ ἐμβαδὸν τοῦ σκαληνοῦ τριγώνου. ὧν τὸ ∠′· γίνονται μβ· καὶ ἔστι γῆς μοδίων μβ.

Von ungleichschenkligen Dreiecken. 12

Es sei ein ungleichschenkliges spitzwinkliges Dreieck, 1
dessen kleinere Seite = 13 Schoinien, die Grundlinie = 14 Schoinien, die Hypotenuse = 15 Schoinien; zu finden seine Kathete. Mache so: 13 der kleineren Seite $\times$ 13 = 169; 14 der Grundlinie $\times$ 14 = 196; 15 der Hypotenuse $\times$ 15 = 225. Addiere dann das Produkt der Grundlinie und das der Hypotenuse, d. h. 196 + 225 = 421; subtrahiere davon das Produkt der kleineren Seite, 421 $\div$ 169 = 252; $\frac{1}{2} \times$ 252 = 126; 126 : 14 der Grundlinie = 9; so viel Schoinien der Abschnitt.*) 9 $\times$ 9 = 81; subtrahiere vom Produkt der Hypotenuse 81, d. h. 225 $\div$ 81 = 144; $\sqrt{144}$ = 12; so viel Schoinien ist die Kathete.

Auf andere Weise. Addiere das Produkt der Grundlinie 2
und das der kleineren Seite, d. h. 196 + 169 = 365; subtrahiere davon das Produkt der Hypotenuse, d. h. 365 $\div$ 225 = 140; $\frac{1}{2} \times$ 140 = 70; $\frac{1}{14} \times$ 70 = 5; so viel Schoinien der Abschnitt.**) 5 $\times$ 5 = 25; 169 $\div$ 25 = 144; $\sqrt{144}$ = 12; so viel Schoinien die Kathete.

Und den Rauminhalt zu finden. Mache so: $\frac{1}{2} \times$ Grund- 3
linie = 7; 7 $\times$ Kathete = 7 $\times$ 12 = 84; so viel ist der Rauminhalt des ungleichschenkligen Dreiecks. $\frac{1}{2} \times$ 84 = 42; und er ist 42 Modien Land.

*) $y = \frac{b^2 + c^2 \div a^2}{2b}$ (b Grundlinie, a kleinere Seite, c Hypotenuse, y ihre Projektion auf b). **) $b \div y = \frac{b^2 + a^2 \div c^2}{2b}$.

2 ἡ μὲν] A, om. C. 3 σχοινία C. σχοινία C. 4 σχοῖ C, ut saepius. 5 πολυπλασίασον] C, om. A. 6 $\overline{\rho\xi\vartheta}$—7 γίνονται] A, om. C. 7 $\overline{\rho\varsigma\varsigma}$] mut. in $\overline{\rho\xi\eta}$ C². 9 ἤγουν] C, πλευρᾶς ἤγουν A. 10—11 τὸν τῆς ἥττονος πλευρᾶς πολυπλασιασμὸν A. 16 τουτέστι] C, τουτέστιν ἀπὸ A. 17 $\overline{\iota\beta}$] C, γίνεται $\overline{\iota\beta}$ A. ἐστὶ σχοινίων] C, σχοινίων ἔσται A. 22 ∠′] C, ἥμισυ γίνεται A. 24 $\overline{\rho\xi\vartheta}$] corr. ex $\overline{\xi\vartheta}$ C². 28 κάθετος λέγει τὸ ἀπὸ ὕψους εἰς βάθος διάστημα mg. C². ἔσται] C, ἔσται σχοινίων A. 30 γῆς] -ς euan. C.

4 *Ἄλλως γίνεται ἡ ἀναμέτρησις ἐπὶ τοῦ τοιούτου τριγώνου, οὗ ἡ βάσις σχοινίων ιγ, ἡ μείζων πλευρὰ σχοινίων ιε, ἡ ἐλάττων σχοινίων ιδ· εὑρεῖν αὐτοῦ τὴν κάθετον. ποίησον οὕτως· σύνθες τὸν τῆς βάσεως πολυπλασιασμὸν καὶ τῆς μιᾶς τῶν πλευρῶν ἤγουν τὰ ρξθ καὶ τὰ ρϙϛ· γίνονται τξε· ἀπὸ τούτων ὑπέξελε τὸν πολυπλασιασμὸν τῆς ὑποτεινούσης ἤγουν τὰ σκε· λοιπὰ ρμ· τούτων τὸ ∠′ ο. ταῦτα μέρισον παρὰ τὰ ιγ τῆς βάσεως· γίνονται μονάδες ε καὶ ε ιγ′ ιγ′· τοσούτων*
5 *σχοινίων ἡ ἀποτομή. ταῦτα ἐφ' ἑαυτά· γίνονται μονάδες κθ παρὰ ιγ′ τὸ ιγ′. πολυπλασιάζεται οὕτως· ε ε κε· καὶ πεντάκις τὰ ε ιγ′ ιγ′ κε ιγ′ ιγ′· καὶ αὖθις ε ιγ′ ιγ′ τῶν ε μονάδων κε ιγ′ ιγ′· καὶ ε ιγ′ ιγ′ τῶν ε ιγ′ ιγ′ κε ιγ′ ιγ′ τῶν ιγ′ ιγ′, γινόμενα καὶ ταῦτα ιγ′ ιγ′ β παρὰ ιγ′ τὸ ιγ′· ὁμοῦ μονάδες κε καὶ λεπτὰ ιγ′ ιγ′ νβ παρὰ ιγ′ τὸ ιγ′, γινόμενα καὶ ταῦτα μονάδες δ παρὰ ιγ′ τὸ ιγ′, ἤτοι τὰ ὅλα μονάδες κθ παρὰ ιγ′ τὸ ιγ′. ταῦτα ὑπέξελε ἀπὸ τοῦ κατὰ τὴν παρακειμένην πλευρὰν πολυπλασιασμοῦ, τουτέστιν ἀπὸ τῶν ρϙϛ· λοιπαὶ μονάδες ρξξ καὶ ιγ′ τὸ ιγ′· ὧν πλευρὰ τετραγωνικὴ μονάδες ιβ καὶ λεπτὰ ιγ′ ιγ′ ιβ· τοσού-*
6 *των ἔσται σχοινίων ἡ κάθετος. πολυπλασιάζονται δὲ αἱ ιβ μονάδες καὶ τὰ ιβ ιγ′ ιγ′ οὕτως· ιβ ιβ ρμδ· καὶ ιβ τὰ ιβ ιγ′ ιγ′ ρμδ ιγ′ ιγ′· καὶ πάλιν ιβ ιγ′ ιγ′ τῶν ιβ μονάδων ρμδ ιγ′ ιγ′· καὶ ιβ ιγ′ ιγ′ τῶν ιβ ιγ′ ιγ′ ρμδ ιγ′ ιγ′ τῶν ιγ′ ιγ′, γινόμενα καὶ ταῦτα ια ιγ′ ιγ′ καὶ ιγ′ τὸ ιγ′· ὁμοῦ μονάδες ρμδ λεπτὰ ιγ′ ιγ′ σϙθ καὶ ιγ′ τὸ ιγ′, γινόμενα καὶ ταῦτα μονάδες κγ καὶ ιγ′ τὸ ιγ′, ἤτοι τὰ ὅλα μονάδες ρξξ καὶ ιγ′ τὸ ιγ′. ἔστιν οὖν ἡ κάθετος τοῦ παρόντος τριγώνου σχοινίων ιβ καὶ λεπτῶν ιγ′ ιγ′ ιβ.*

Auf andere Weise geschieht die Vermessung bei einem 4
solchen Dreieck so: die Grundlinie $= 13$ Schoinien, die
größere Seite $= 15$ Schoinien, die kleinere $= 14$ Schoinien;
zu finden seine Kathete. Mache so: addiere das Produkt
der Grundlinie und das der einen Seite, d. h. $169 + 196$
$= 365$; subtrahiere davon das Produkt der Hypotenuse,
d. h. $365 \div 225 = 140$; $\frac{1}{2} \times 140 = 70$; $70 : 13$ der
Grundlinie $= 5\frac{5}{13}$; so viel Schoinien der Abschnitt. $5\frac{5}{13}$ 5
$\times 5\frac{5}{13} = 29 \div \frac{1}{169}$. Die Multiplikation geschieht so: 5×5
$= 25$, $5 \times \frac{5}{13} = \frac{25}{13}$, wiederum $\frac{5}{13} \times 5 = \frac{25}{13}$, $\frac{5}{13} \times \frac{5}{13} = \frac{25}{13} : 13$
$= \frac{2}{13} \div \frac{1}{169}$, zusammen $25\frac{52}{13} \div \frac{1}{169} = 25 + 4 \div \frac{1}{169} = 29$
$\div \frac{1}{169}$ in allem. Subtrahiere dies vom Produkt der beiliegenden Seite, d. h. $196 \div (29 \div \frac{1}{169}) = 167\frac{1}{169}$; $\sqrt{167\frac{1}{169}}$
$= 12\frac{12}{13}$. $12\frac{12}{13} \times 12\frac{12}{13}$ wird so ausgeführt: $12 \times 12 = 144$, 6
$12 \times \frac{12}{13} = \frac{144}{13}$, und wiederum $\frac{12}{13} \times 12 = \frac{144}{13}$, $\frac{12}{13} \times \frac{12}{13}$
$= \frac{144}{13} : 13 = \frac{11}{13} + \frac{1}{169}$, zusammen $\frac{299}{13} + \frac{1}{169} = 23\frac{1}{169}$, das
ganze also $167\frac{1}{169}$. Es ist also die Kathete des vorliegenden Dreiecks $12\frac{12}{13}$ Schoinien.

---

1 *γίνεται*] C, om. A. *τοιούτου*] C, *αὐτοῦ* A. 2 *οὗ*] C, *ἔστω τριγώνου σκαληνοῦ* A. 3 *ἡ*] C, *ἡ δὲ* A. 8 $\overline{ο}$] C, *γίνεται* $\overline{ο}$ A. 9 *γίνονται*] comp. C, *γίνεται τὸ ιγ´ τούτων* A. *τοσούτων*—11 *τὸ ιγ´*] A, om. C. 11 *πολυπλασιάζεται*] C, *πολυπλασιάζονται δὲ* A. 12 *ιγ´ ιγ´* (pr.)] A, *γ´* C. 13 *τῶν* $\overline{ε}$ *ιγ´ ιγ´*] A, *ἤτοι μονα*$^{δ´}$ C, sed del. 14 *γινόμενα*] *γι* C. 15 *ιγ´ ιγ´*] *ιγ´* C. *ὁμοῦ*] A, *ἤτοι* C. 16 *γινόμενα*—17 *τὸ ιγ´*] om. C. 18 *ταῦτα*] C, *ταύτας* A. *τοῦ*] A, om. C. 21 *μονάδες*] C, *γίνεται μονάδες* A. $\overline{ιβ}$ (pr.)] A, $\overline{β}$ C. 22 *ἡ*] seq. ras. 1 litt. C. 24 $\overline{ιβ}$ *τὰ*] C, *δωδεκάκις τὰ* A. *ιγ´ ιγ´* (sec.)] *ιγ´* C. 26 $\overline{ια}$ *ιγ´ ιγ´*] C, *ιγ´ ιγ´* $\overline{ια}$ A. 27 $\overline{σϙδ}$] -ϙ- euan. C. 30 *παρόντος*] C, *αὐτοῦ* A.

7 Τὸ δὲ ἐμβαδὸν εὑρεῖν. ποίησον οὕτως· τὸ ∠′ τῆς βάσεως πολυπλασίασον ἐπὶ τὴν κάθετον ἤγουν τὰ ϛ ∠′ ἐπὶ τὰ ιβ καὶ τὰ ιβ ιγ′ ιγ′· γίνονται πδ· καὶ ἔστι
8 τὸ ἐμβαδὸν σχοινίων τοσούτων. ὁ δὲ πολυπλασιασμὸς γινέσθω οὕτως· αἱ ϛ πρὸς τῇ ∠′ πολυπλασιασθήτωσαν μετὰ τῆς καθέτου [ἀμφότεροι] οὕτως· ϛ ιβ οβ· καὶ ἑξάκις τὰ ιβ ιγ′ ιγ′ [τὰ] οβ ιγ′ ιγ′· αἱ ιβ μονάδες καὶ τὰ ιβ ιγ′ ιγ′ ἐπὶ τὸ ∠′ ϛ μονάδες καὶ ϛ ιγ′ ιγ′· ὁμοῦ μονάδες οη καὶ ιγ′ ιγ′ οη, ἅτινα ποιοῦσι μονάδας ϛ· ἑνωμένως οὖν μετὰ τῶν οη γίνονται πδ· καὶ ἔστι τὸ ἐμβαδὸν σχοινίων τοσούτων.

9 Ἔστω τριγώνου σκαληνοῦ ἡ βάσις σχοινίων ιε, ἡ μία τῶν πλευρῶν σχοινίων ιγ καὶ ἡ ἑτέρα σχοινίων ιδ· εὑρεῖν τὴν κάθετον. ποίησον οὕτως· σύνθες τὸν τῆς βάσεως πολυπλασιασμὸν καὶ τῆς μιᾶς τῶν πλευρῶν ἤγουν τὰ σκε καὶ τὰ ρξθ· γίνονται τϙδ. εἶτα ὕφειλον ἀπὸ τούτων τὸν τῆς λοιπῆς πλευρᾶς πολυπλασιασμὸν ἤγουν τὰ ρϙϛ· λοιπὰ ρϙη· τούτων τὸ ∠′ ϙθ. ταῦτα μέρισον παρὰ τὰ ιε τῆς βάσεως· γίνεται τὸ ιε′ τούτων μονάδες ϛ καὶ λεπτὰ ιε′ ιε′ θ ἤτοι μονάδες ϛ καὶ ε′ ε′ γ· τοσούτων σχοινίων ἡ ἀποτομή.
10 ταῦτα ἐφ᾽ ἑαυτά· γίνονται μονάδες μγ καὶ ε′ ε′ γ παρὰ ε′ τὸ ε′. πολυπλασιάζονται δὲ οὕτως· ϛ ϛ λϛ· καὶ ἑξάκις τὰ γ ε′ ε′ ιη ε′ ε′· καὶ αὖθις γ ε′ ε′ τῶν ϛ μονάδων ιη ε′ ε′· καὶ γ ε′ ε′ τῶν γ ε′ ε′ θ ε′ ε′ τῶν ε′ ε′, γινόμενα καὶ ταῦτα ε′ ε′ β παρὰ ε′ τὸ ε′· ὁμοῦ μονάδες λϛ καὶ ε′ ε′ λη παρὰ ε′ τὸ ε′, γινόμενα καὶ ταῦτα μονάδες ζ καὶ γ ε′ ε′ παρὰ ε′ τὸ ε′, ἤτοι τὰ ὅλα μονάδες
11 μγ καὶ ε′ ε′ γ παρὰ ε′ τὸ ε′. ταύτας ἄφελε ἀπὸ τοῦ κατὰ τὴν παρακειμένην πλευρὰν πολυπλασιασμοῦ ἤγουν ἀπὸ τῶν ρξθ· λοιπαὶ μονάδες ρκε ε′ ε′ β καὶ ε′ τὸ ε′

Und den Rauminhalt zu finden. Mache so: $\frac{1}{2}$ Grundlinie 7
$\times$ Kathete oder $6\frac{1}{2} \times 12\frac{12}{13} = 84$; und es ist der Raum-
inhalt so viel Schoinien. Die Multiplikation aber soll so 8
geschehen. $6\frac{1}{2}$ soll mit der Kathete multipliziert werden folgendermaßen: $6 \times 12 = 72$, und $6 \times \frac{12}{13} = \frac{72}{13}$; $12\frac{12}{13} \times \frac{1}{2} = 6\frac{6}{13}$; zusammen $78\frac{78}{13} = 78 + 6 = 84$; und es ist der Rauminhalt so viel Schoinien.

Es sei in einem ungleichseitigen Dreieck die Grundlinie 9
$= 15$ Schoinien, die eine der Seiten $= 13$ Schoinien und die andere $= 14$ Schoinien; zu finden die Kathete. Mache so: addiere das Produkt der Grundlinie und das der einen Seite, d. h. $225 + 169 = 394$; hiervon subtrahierte ich das Produkt der anderen Seite, $394 \div 196 = 198$; $\frac{1}{2} \times 198 = 99$; $99 : 15$ der Grundlinie $= 6\frac{9}{15} = 6\frac{3}{5}$; so viel Schoinien der
Abschnitt. $6\frac{3}{5} \times 6\frac{3}{5} = 43\frac{3}{5} \div \frac{1}{25}$. Die Multiplikation ge- 10
schieht so: $6 \times 6 = 36$, $6 \times \frac{3}{5} = \frac{18}{5}$, und wiederum $\frac{3}{5} \times 6 = \frac{18}{5}$, und $\frac{3}{5} \times \frac{3}{5} = \frac{9}{25} = \frac{2}{5} \div \frac{1}{25}$; zusammen $36\frac{38}{5} \div \frac{1}{25} = 36$
$+ 7\frac{3}{5} \div \frac{1}{25} = 43\frac{3}{5} \div \frac{1}{25}$. Subtrahiere dies vom Produkt der 11
beiliegenden Seite, d. h. $169 \div (43\frac{3}{5} \div \frac{1}{25}) = 125\frac{2}{5}\frac{1}{25} =$

---

4 *ἐμβαδὸν*] C, *ἐμβαδὸν αὐτοῦ* A. 5 *γινέσθω*] C, *γενέσθω* A. *τῇ*] A, *τὴν* C. ∠′] C, *ἡμισεία μονάδες* A. 6 *μετὰ τῆς καθέτου*] C, *πρότερον ἐπὶ τὰς* $\overline{ιβ}$ *μονάδας* A. *ἀμφότεροι*] C, om. A; deleo. 7 *ἑξάκις—μονάδες*] C, *τὸ ἥμισυ τῶν* $\overline{ιβ}$ $\overline{ϛ}$ *μονάδες* $\overline{οη}$ A. *τὰ*] deleo; *γίνονται* Hultsch. 7 *καὶ*—9 $\overline{οη}$ *καὶ*] C, *εἶτα καὶ ἐπὶ τὰ* $\overline{ιβ}$ *ιγ′ ιγ′ γίνονται καὶ ταῦτα* A. 9 *ἅτινα*—11 *τοσούτων*] C, *ἤτοι* $\overset{οο}{μμ}$ $\overline{ϛ}$ *ὁμοῦ μονάδες ὀγδοηκοντατέσσαρες* A. 12 Titulum *ἄλλως ἡ ἀναμέτρησις τοῦ αὐτοῦ τριγώνου* add. A. *σχοινία* C. 13 *σχοινίων* (alt.)] *σχοινία* C. 14 *τὴν*] C, *αὐτοῦ τὴν* A. 17 *ὑφεῖλον*] C, *ἄφελε* A. 18 ∠′] C, *ἥμισυ γίνεται* A. 22 $\overline{γ}$] A, *τρία* C. 25 $\overline{ιη}$] A, *καὶ* $\overline{ιη}$ C. 26 *μονάδες*—27 *γινόμενα*] A, om. C. 28 $\overline{γ}$ *ε′ ε′*] C, *ε′ ε′* $\overline{γ}$ A.

ἤτοι μονάδες $\overline{ρκε}$ γ′ ιε′ κε′· ὧν πλευρὰ τετραγωνικὴ γίνεται $\overline{ια}$ ε′· τοσούτων σχοινίων ἔσται ἡ κάθετος.

12 ὁ δὲ τούτων πολυπλασιασμὸς γίνεται οὕτως· $\overline{ια}$ $\overline{ια}$ $\overline{ρκα}$· καὶ $\overline{ια}$ τὸ ε′ $\overline{ια}$ ε′ ε′· καὶ πάλιν ε′ τῶν $\overline{ια}$ μονάδων $\overline{ια}$ ε′ ε′· καὶ ε′ τὸ ε′ κε′· ὁμοῦ μονάδες $\overline{ρκα}$ ε′ ε′ $\overline{κβ}$ καὶ ε′ τὸ ε′, γινόμενα καὶ ταῦτα μονάδες $\overline{δ}$ γ′ ιε′ κε′, ἤτοι τὰ ὅλα μονάδες $\overline{ρκε}$ γ′ ιε′ κε′.

13 Τὸ δὲ ἐμβαδὸν εὑρεῖν. ποίησον οὕτως· τὸ ∠′ τῆς βάσεως ἤγουν τὰ $\overline{ξ}$ ∠′ πολυπλασίασον ἐπὶ τὰ $\overline{ια}$ ε′ τῆς καθέτου· γίνονται $\overline{πδ}$· καὶ ἔστιν τὸ ἐμβαδὸν σχοινίων τοσούτων. πολυπλασίασον δὲ ταῦτα οὕτως· $\overline{ξ}$ $\overline{ια}$ $\overline{οζ}$· καὶ τὸ ε′ τῶν $\overline{ξ}$ $\overline{α}$ καὶ ε′ ε′ $\overline{β}$· τὸ ∠′ τῶν $\overline{ια}$ $\overline{ε}$ ∠′. καὶ τοῦ ε′ τὸ ∠′ ι′· ὁμοῦ μονάδες $\overline{πβ}$ καὶ ε′ ε′ $\overline{ι}$, γινόμενα καὶ ταῦτα μονάδες $\overline{β}$, ἤτοι τὰ ὅλα μονάδες $\overline{πδ}$. ὧν τὸ ∠′· γίνονται $\overline{μβ}$· καὶ ἔστι γῆς μοδίων τεσσαράκοντα $\overline{β}$.

C
14 [Ταῦτα τὰ τρία σκαληνὰ ἓν σχῆμά ἐστι καὶ εἷς ἀριθμὸς καὶ μία ποσότης, γίνεται δὲ ἡ ἀναμέτρησις αὐτῶν, καθὼς ἄνωθεν εἴρηται. τοῦτο μόνον ὑπέφηνε τὰ σχήματα τῶν σκαληνῶν, ὅτι, ἐὰν τὴν βάσιν τάξῃς πλευρὰν ἢ τὴν πλευρὰν βάσιν, μὴ ἐκπέσῃς οὐδέποτε τῆς προκειμένης ποσότητος. παντὸς τριγώνου σκαληνοῦ ὀξυγωνίου αἱ περὶ τὴν ὀρθὴν $\overline{β}$ πλευραὶ τῆς λοιπῆς τῆς ὑποτεινούσης μείζονές εἰσιν ἐφ᾽ ἑαυτὰς πολυπλασιαζόμεναι, καὶ παντὸς τριγώνου σκαληνοῦ ἀμβλυγωνίου αἱ περὶ τὴν ὀρθὴν δύο πλευραὶ τῆς λοιπῆς τῆς ὑποτεινούσης ἥττονές εἰσι πολυπλασιαζόμεναι πρὸς ἑαυτάς.]



Fig. 9.

AC
15 Ἕτερον τρίγωνον σκαληνὸν ὀξυγώνιον, οὗ τὸ μικρὸν σκέλος σχοινίων $\overline{κς}$, τὸ δὲ μεῖζον σχοινίων $\overline{λ}$,

$125\frac{1}{3}\frac{1}{15}\frac{1}{25}$, $\sqrt{125\frac{1}{3}\frac{1}{15}\frac{1}{25}} = 11\frac{1}{5}$; so viel Schoinien wird die Kathete sein. Die Multiplikation davon geschieht so: 11×11 12
$= 121$, $11 \times \frac{1}{5} = \frac{11}{5}$, und wiederum $\frac{1}{5} \times 11 = \frac{11}{5}$, und $\frac{1}{5} \times \frac{1}{5} = \frac{1}{25}$; zusammen $121\frac{22}{5}\frac{1}{25} = 121 + 4\frac{1}{3}\frac{1}{15}\frac{1}{25} = 125\frac{1}{3}\frac{1}{15}\frac{1}{25}$ in allem.

Und den Rauminhalt zu finden. Mache so: $\frac{1}{2}$ Grund- 13
linie oder $7\frac{1}{2} \times 11\frac{1}{5} = 84$; und es ist der Rauminhalt so viel Schoinien. Multipliziere aber dies so: $7 \times 11 = 77$, $\frac{1}{5} \times 7 = 1\frac{2}{5}$, $\frac{1}{2} \times 11 = 5\frac{1}{2}$, $\frac{1}{2} \times \frac{1}{5} = \frac{1}{10}$; zusammen $82\frac{10}{5} = 82 + 2 = 84$. $\frac{1}{2} \times 84 = 42$; und er ist 42 Modien Land.

[Diese drei ungleichschenkligen Dreiecke sind *eine* Figur, 14
eine Zahl und *eine* Größe, und ihre Vermessung geschieht, wie oben angegeben. Nur dies haben die Figuren der ungleichschenkligen Dreiecke gezeigt, daß man nie außerhalb der vorliegenden Größe kommt, ob man die Grundlinie als Seite setzt oder die Seite als Grundlinie. In jedem ungleichschenkligen spitzwinkligen Dreieck sind die zwei den rechten*) Winkel umschließenden Seiten mit sich multipliziert größer als die übrige, die Hypotenuse, und in jedem ungleichschenkligen stumpfwinkligen Dreieck sind die zwei den rechten**) Winkel umschließenden Seiten mit sich multipliziert kleiner als die übrige, die Hypotenuse.]

Ein anderes ungleichschenkliges Dreieck, dessen kleiner 15
Schenkel $= 26$ Schoinien, der größere $= 30$ Schoinien, die

*) Sollte heißen: spitzen.
**) Sollte heißen: stumpfen.

---

4 $\overline{ια}$ (pr.)] ια΄ C, ἑνδεκάκις A. μονάδων] A, μονάδες C. 5 τὸ] C, τοῦ A. 6 κε΄] A, om. C. 9 τὰ (alt.)—10 καθέτου] C, τὴν κάθετον ἤγουν ἐπὶ τὰ $\overline{ια}$ ε΄ A. 10 ἔστι A. 11 ταῦτα] C, om. A. 12 τὸ ε΄—13 ι΄ (pr.)] C, ἑπτάκις τὸ ε΄ ἑπτὰ ε΄ ε΄ καὶ τὸ ἥμισυ τῶν $\overline{ια}$ ε΄ μονάδες $\overline{ε}$ καὶ ε΄ ε΄ $\overline{γ}$ A. 12 τὸ ∠΄] τὰ ∠΄ C. 14 $\overline{β}$] A, δύο C. 16 ταῦτα—28 ἑαυτάς] C, om. A.

ἡ δὲ βάσις σχοινίων κη, ἡ δὲ κάθετος σχοινίων κδ· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. λαβὲ τῆς βάσεως τὸ ∠'· γίνονται ιδ· ταῦτα πολυπλασίασον ἐπὶ τὰ κδ τῆς καθέτου· γίνονται τλϛ· καὶ ἔστι τὸ ἐμβαδὸν αὐτοῦ τοῦ ὀξυγωνίου σκαληνοῦ τριγώνου σχοινίων τλϛ.

16 Ἐὰν δὲ θέλῃς εὑρεῖν, πόσων σχοινίων ἐστὶν ἡ βάσις τοῦ ἥττονος τμήματος τοῦ τριγώνου, ποίησον οὕτως· τὰ κϛ τοῦ μικροῦ σκέλους ἐφ' ἑαυτά· γίνονται χοϛ· ὁμοίως καὶ τὰ κη τῆς ὅλης βάσεως ἐφ' ἑαυτά· γίνονται ψπδ· ὁμοῦ γίνονται ,αυξ. ἐξ ὧν λαβὲ τὰ λ τοῦ μεγάλου σκέλους γινόμενα ἐφ' ἑαυτὰ ϡ· λοιπὰ φξ· ὧν τὸ ∠' σπ· τούτων τὸ κη' ι, ἐπειδήπερ ἡ ὅλη βάσις σχοινίων κη γίνεται· τοσούτων ἔσται σχοινίων ἡ βάσις
17 τοῦ ἥττονος τμήματος. δῆλον γάρ, ὅτι τὸ ὑπολιμπανόμενον ἀπὸ τῆς ὅλης βάσεως, τουτέστι τὰ ιη, τοῦ μείζονος τμήματός εἰσι, καὶ ἐγένοντο δύο τρίγωνα ὀρθογώνια, τοῦ μὲν μείζονος ἡ βάσις σχοινίων ιη, τοῦ δὲ ἥττονος ι, ἡ ὑποτείνουσα σχοινίων λ, ἡ ἑτέρα κϛ, καὶ ἡ πρὸς ὀρθὰς τῶν ἀμφοτέρων τριγώνων, ἥτις καὶ κάθετος καλεῖται, σχοινίων κδ, ἡ δὲ βάσις σχοινίων
18 κη. ἔστι δὲ τὸ ἐμβαδὸν τοῦ ὅλου τριγώνου σχοινίων τλϛ. εὑρίσκεται δὲ οὕτως· τὰ κη τῆς βάσεως ἐπὶ τὰ κδ τῆς καθέτου· γίνονται χοβ· ὧν τὸ ∠'· γίνονται τλϛ· τοσούτων ἔσται τὸ ἐμβαδὸν τοῦ ὅλου τριγώνου, ἤγουν τοῦ μὲν μείζονος τμήματος σχοινίων σιϛ, τοῦ δὲ ἐλάττονος σχοινίων ρκ.

19 Ἄλλως τὸ αὐτὸ ὀξυγώνιον, οὗ ἡ μείζων πλευρὰ ὁμοίως σχοινίων λ, ἡ δὲ ἐλάττων σχοινίων κϛ, ἡ βάσις σχοινίων κη· εὑρεῖν αὐτοῦ τὸ ἐμβαδόν. ποίει οὕτως· τὰ λ ἐφ' ἑαυτά· γίνονται ϡ· καὶ τὰ κϛ ἐφ' ἑαυτά· γίνονται χοϛ· καὶ τὰ κη ἐφ' ἑαυτά· γίνονται ψπδ. συν-

Grundlinie = 28 Schoinien, die Kathete = 24 Schoinien; zu finden seinen Rauminhalt. Nimm $\frac{1}{2}$ Grundlinie = 14; 14 $\times$ 24 der Kathete = 336; und es ist der Rauminhalt des spitzwinkligen ungleichschenkligen Dreiecks selbst = 336 Schoinien.

